eul_wid: vdq-ag

*Θεοδόσιος ὁ Ἀλεξανδρεύς* · Theodosius of Alexandria

# On Grammar

*Περὶ γραμματικῆς*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1 (1t) ΘΕΟΔΟΣΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΠΕΡΙ ΓΡΑΜΜΑΤΙΚΗΣ. Ἡ τῶν παρ' Ἕλλησι στοιχείων εἰσαγωγὴ ἀπὸ τοῦ ἄλεφ γέγονεν, ἑβραϊκοῦ πρώτου στοιχείου, ὃ ἑρμηνεύεται μάθησις, ἐντελλόμενον τῷ εἰσαγομένῳ παιδὶ καὶ λέγον μάθε· ἀφ' οὗ ἄλεφ. Καὶ αὐτοὶ δὴ οἱ Ἕλληνες ὁμοίως μιμησάμενοι τὸ ἄλφα κεκλήκασι καὶ συνεξεφωνήθη ἡ φράσις τῆς ἑβραΐδος διαλέκτου τῇ ἑλληνίδι διαλέκτῳ· ἵνα γὰρ εἴπῃ τῷ παιδὶ ἀντὶ τοῦ μάθε, ζήτει· τοῦτο γὰρ ἑρμηνεύεται τὸ ἄλφα· τὸ γὰρ ἀλφεῖν ζητεῖν λέγεται κατὰ τὴν ἑλληνίδα διάλεκτον· ἀλλὰ καὶ ὡς πρώτου ὄντος στοιχείου τοῦ ἄλφα καὶ ἀπὸ θεοῦ δοθέντος τῷ γένει τῶν ἀνθρώπων, τοῦ ἀνοίξαντος στόμα εἰς σύνεσιν τῶν γραμμάτων, ἔδει καὶ τὴν ἐκφώνησιν ἐκ φύσεως διὰ τοῦ μεγάλου ἀνοίγματος γίνεσθαι αὐτοῦ, ἄλφα δηλαδή· τὰ δ' ἄλλα τῶν στοιχείων διὰ βραχείας ἐκφωνήσεως καὶ ἀνοίξεως τοῦ στόματος ἐκφωνοῦνται καὶ ἀπαγγέλλονται. Οὐκ εἶχον δὲ γράμματα οἱ Ἕλληνες ἐξαρχῆς· ἀλλὰ διὰ Φοινίκων γραμμάτων ἔγραφον τὰ ἑαυτῶν. Πρῶτος τοίνυν ἦν ὁ Παλαμήδης ὁ ἀρξάμενος εὑρίσκειν ὕστερον τὰ ἑλληνικὰ γράμματα· εὗρε δὲ ἑκκαίδεκα μόνον στοιχεῖα· τουτέστιν Α. Β. Γ. Δ. Ε. Ι. Κ. Λ. Μ. Ν. Ο. Π. Ρ. Σ. Τ. Υ. Κάδμος δὲ ὁ Μιλήσιος μετὰ ταῦτα προσέθηκεν αὐτοῖς καὶ ἄλλα τρία γράμματα, τὸ Θ καὶ τὸ Φ καὶ τὸ Χ· διὸ πολλῷ τῷ χρόνῳ τοῖς ἐννεακαίδεκα στοιχείοις ἐχρῶντο· ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ Ψ τὴν ψαλίδα πσαλίδα ἔγραφον καὶ ἔλεγον, ἄλλως δέ τε καὶ πολλὰ ἄλλα.

2 ἔπειτα Σιμωνίδης ὁ Κεῖος εὑρὼν τὸ Η καὶ Ω μέγα προσέθηκε τοῖς ἄλλοις· μετέπειτα τὸ Ζ, τὸ Ξ, τὸ Ψ, καὶ οὕτως ἐπληρώθησαν τὰ εἰκοσιτέσσαρα γράμματα τῶν Ἑλλήνων, ἃ καὶ στοιχεῖα λέγονται· ὅθεν ὁ Ὅμηρος οὐκ ἐξηκολούθησε τῷ ἀριθμῷ τῶν εἰκοσιδύο γραμμάτων τῶν παρ' Ἑβραίοις, ἀλλὰ διὰ τῶν εἰκοσιτεσσάρων γραμμάτων τε καὶ στοιχείων τῶν ἑλληνικῶν ἐτύπωσε καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος· ὡσαύτως καὶ τὴν Ὀδύσσειαν, αἵτινες ῥαψῳδίαι προσαγορεύονται. Γράμμα ἐστὶ σημεῖον στοιχείου, ὃ καταλαμβάνεται γραφῆς σχήματι ποιῷ ἢ ποσῷ· ἤγουν ὅταν γράφωμεν προς εἴποιμεν ἂν ταῦτα καὶ στοιχεῖα καὶ γράμματα· γράμματα μέν, ὅτι γράφονται· στοιχεῖα δέ, ὅτι ἀναγιγνώσκονται· εἰ δὲ γράψομεν ρπσο εἴποιμεν ἂν ταῦτα γράμματα μέν, ὅτι γράφονται· οὐδαμῶς δὲ στοιχεῖα, ὅτι οὐκ ἀναγιγνώσκονται, οὐδὲ κατὰ τάξιν πορεύονται· ὅθεν γράμματα ἀπὸ τοῦ γέγραμμαι, πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου, οὗ τὸ θέμα γράφω· διὸ καὶ διὰ δύο μμ γράφονται· ὅτε μὲν γὰρ εἰς φα λήγει ὁ ἐνεργητικὸς παρακείμενος, τότε διὰ δύο μμ γράφεται ὁ παθητικὸς παρακείμενος. Στοιχεῖόν ἐστι μέρος ἐλάχιστον, ἀμερὲς τῆς ἐγγραμμάτου φωνῆς· ἀμερὲς δὲ εἶπε, διότι τὸ στοιχεῖον οὐ

μερίζεται, ὥσπερ μερίζεται ὁ λόγος εἰς λέξεις, αἱ δὲ λέξεις εἰς συλλαβάς, αἱ δὲ συλλαβαὶ εἰς τὰ στοιχεῖα· τὰ δὲ στοιχεῖα ἀμέριστά εἰσιν· φωνῆς δὲ εἶπεν ἐγγραμμάτου διὰ τὰς φωνὰς τὰς ἀγραμμάτους. Πόσα παρέπεται τῷ στοιχείῳ; ἕξ· ὄνομα· σχῆμα.

3 χαρακτήρ. Θέσις· ἐκφώνησις καὶ δύναμις. ὄνομα μὲν ὡς ὅταν εἴπωμεν τοῦ πρώτου στοιχείου τὸ ὄνομά ἐστιν ἄλφα, τοῦ δευτέρου βῆτα, τοῦ τρίτου γάμμα, τοῦ τετάρτου δέλτα καὶ τὰ ἑξῆς· σχῆμα δέ, ὅτι ἄλλα μέν εἰσιν ἁπλᾶ, ἄλλα δὲ σύνθετα, ὡς τὸ Ζ Ξ Ψ. χαρακτὴρ δέ, ὅτι τὰ μὲν διὰ μιᾶς γραμμῆς συντελοῦνται ὡς τὸ Ι, τὰ δὲ διὰ δύο ὡς τὸ Γ, τὰ δὲ διὰ τριῶν, ὡς τὸ Δ καὶ τὰ ἑξῆς· Θέσις δέ, ὅτι τὰ μὲν ἔχουσι δύναμιν προτάσσεσθαι ὥστε ἄλλα μὲν ἔλαβον ἐκ φύσεως τὴν πρώτην θέσιν, ἄλλα δὲ τὴν δευτέραν. Ἐκφώνησις δέ, ὅτι ἄλλως μὲν ἐκφωνεῖται τὸ Α, ἄλλως δὲ τὸ Β, ἄλλως δὲ τὸ Γ. Καὶ πάλιν ἐκφώνησιν λέγομεν παρέπεσθαι τῷ στοιχείῳ, ὅτι τὰ φωνήεντα ἀφ’ ἑαυτῶν ἐκφωνεῖται, καὶ οὐ δέονταί τινος ἑτέρου πρὸς ἐκφώνησιν· τὰ δὲ σύμφωνα διὰ τῆς συναλοιφῆς τῶν φωνηέντων τὴν ἐκφώνησιν ἔχουσιν. Δύναμιν δέ, ὅτι τὰ μὲν ψιλοῦνται, τὰ δὲ δασύνονται, καὶ τὰ μὲν ἐκτείνονται, τὰ δὲ συστέλλεται, καὶ τὰ μὲν ὀξύνονται, τὰ δὲ βαρύνονται. διατί προτέτακται πρῶτον τὸ ἄλφα, ἔπειτα τὸ β καὶ γ καὶ τὰ ἑξῆς; Καὶ λέγομεν, ὅτι τὰ ἑπτὰ φωνήεντά εἰσι τιμιώτερα τῶν συμφώνων, καθὸ ἀποτελοῦσι φωνὴν καθ’ ἑαυτά. Καὶ διαιροῦνται μὲν κατὰ τὴν πρώτην αὐτῶν διαίρεσιν εἰς τρία, εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. Καὶ μακρὰ μὲν δύο, Η καὶ Ω μέγα, βραχέα δὲ δύο, Ε ψιλὸν καὶ Ο μικρόν, δίχρονα δὲ τρία, Α. Ι. Υ. Ἀπὸ μὲν γὰρ τῶν μακρῶν οὐκ ἤρξατο, ὅτι ὁ Κεῖος Σιμωνίδης ὕστερον τοῦ Παλαμήδους ἐφεῦρεν αὐτά. Συζεύξας γὰρ δύο Π διὰ μακρᾶς κεραίας ἐν τῷ μέσῳ, ἐσχημάτισε τὸ Η. Ὁμοίως καὶ δύο Ο Ο συζεύξας, ἐσχημάτισε τὸ Ω μέγα, ὅθεν καὶ μεταγενέστερά εἰσι καὶ οὐκ ἔδει ἀπὸ τῶν μεταγενεστέρων ἄρξασθαι.

4 Οὐδὲ μὴν ἀπὸ τῶν βραχέων ἤρξατο, ὅτι μονόχρονά εἰσιν· ἐλείπετο οὖν ἐκ τῶν διχρόνων τὴν ἀρχὴν ποιήσασθαι· ἐπειδὴ καὶ τοῖς μακροῖς ἰσοδυναμοῦσιν ἐκτεινόμενα, καὶ τοῖς βραχέσι συστελλόμενα· ἀπὸ δ’ αὐτῶν τῶν τριῶν τούτων διχρόνων οὐκ ἔδει προτάξαι τὸ Ι· ἀλλ’ οὐδὲ τὸ Υ, ἐπεὶ ὑποτακτικά εἰσιν· ἐλείπετο ἄρα τὸ Α, προτακτικὸν ὄν, ποιήσασθαι τὴν ἀρχὴν τῶν στοιχείων καὶ πρῶτον τῶν λοιπῶν ἁπάντων ταχθῆναι, καὶ λοιπὸν ἐκ τούτου τὴν ἀρχὴν ἐποιήσαντο. Καὶ ἄλλως· Πάντα τὰ δισύλλαβα τῶν στοιχείων εἰς αὐτό, τὸ Α δηλαδή, καταλήγουσι· καὶ ὅτι ἐκ τριῶν γραμμάτων σύγκειται Α. ὁ δὲ τρίτος ἀριθμὸς ἀρχὴ πλήθους ἐστί, λέγω δὴ πάντων τῶν ἄλλων στοιχείων. καὶ ὅτι τῶν φωνηέντων ἃ μὲν κεχηνότων τῶν χειλέων λέγομεν, ὡς τὸ Η, ἃ δὲ μύοντες τὰ χείλη λέγομεν, ὡς τὸ Υ, Ο. Ἐπεὶ οὖν τὸ Α τὴν κίνησιν ἔχει κατὰ ἀμφότερα, καὶ κεχηνότων καὶ μυόντων τῶν χειλέων ἐκφωνεῖται, τούτου χάριν ἐκ τῶν φωνηέντων αὐτὸ προτέτακται. Καὶ μάλιστα ἐκ τοῦ ὀνόματος αὐτοῦ γιγνώσκομεν, ὅτι πρῶτον τῶν ἄλλων στοιχείων εὑρέθη· ἀλφεῖν γὰρ τὸ εὑρίσκειν σημαίνει, ὅθεν καὶ ἄλφα· τουτέστι τὸ πρῶτον τῶν ἄλλων στοιχείων εὑρεθέν· ἄλλως τε καὶ τὰ νήπια εὐθέως τικτόμενα ἐν τῷ κλαίειν τὴν ἐκφώνησιν τοῦ ἄλφα λέγουσιν, οἷον ἆ, ἆ, ὅθεν καὶ ἀφ’ ἑαυτοῦ ἄρχεται καὶ εἰς αὐτὸ λήγει. Καὶ ὅτι Φοινίκων ἐστὶν εὕρεμα· οἱ δὲ Φοίνικες τὴν οἰκίαν ἄλφα καλοῦσί τε καὶ λέγουσιν· ἐπεὶ οὖν ὁ Ἡσίοδος παραινεῖ· Οἶκον μὲν πρώτιστα θέλε ποιῆσαι· διὰ τοῦτο καὶ πρώτιστα τῶν ἄλλων τοῦτο τέτακται. Καὶ πάλιν τῶν στοιχείων τὰ μέν εἰσι μονοσύλλαβα, τὰ δὲ δισύλλαβα. Καὶ μονοσύλλαβα μέν εἰσι τρία καὶ δέκα Ε. Μ. Ν. Ξ. Ο. Π. Ρ. Τ.

5 Υ. Φ. Χ. Ψ. Ω., δισύλλαβα δὲ ἕνδεκα Α. Β. Γ. Δ. Ζ. Η. Θ. Ι. Κ. Λ. Σ. Δικαίως οὖν τὰ δισύλλαβα προετάχθησαν ἑνὸς μόνου μονοσυλλάβου ἐν αὐτοῖς τεθέντος, τοῦ Ε, τὰ δὲ μονοσύλλαβα ὕστερον ἐτάχθησαν, ἑνὸς μόνου δισυλλάβου μεταξὺ αὐτῶν τεθέντος, τοῦ Σ. Ὧν τοίνυν δισυλλάβων δικαίως προετάγη τὸ Α δι’ ἃς εἴπομεν αἰτίας, καὶ ὅτι δυνάμεις πολλὰς εὑρίσκεται ἔχειν. Καὶ παρὰ Δωριεῦσι μὲν ἀντὶ τοῦ Ε λαμβάνεται, οἷον Ἄρτεμις κοινῶς καὶ Ἄρταμις δωρικῶς· καὶ ἀντὶ τοῦ Η, μῆνις κοινῶς καὶ μᾶνις δωρικῶς. Καὶ σημαίνει ἑπτά, στέρησιν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπίτασιν, τὸ ὁμοῦ, τὸ κακόν, τὸ ὀλίγον, ἄθροισιν καὶ πλεονασμόν. Καὶ ταῦτα μὲν περὶ τοῦ Α. Μετὰ δὲ τὸ Α δεύτερον ἐτάχθη τὸ Β καὶ ἔστιν ἐκ τῶν συμφώνων. Καὶ ὥσπερ ἐκ τῶν ἑπτὰ φωνηέντων εἰσὶ τρία δίχρονα Α. Ι. Υ. καὶ τοῖς μὲν μακροῖς φωνήεσιν ἰσοδυναμοῦσιν ἐκτεινόμενα, τοῖς δὲ βραχέσι συστελλόμενα, ἐκ τούτων δὲ προετάχθη τὸ Α δι' ἃς εἴπομεν αἰτίας, οὕτω καὶ ἐκ τῶν συμφώνων τρία εἰσὶ μέσα Β. Γ. Δ. καθὸ ἐπίστανται τὰ πνεύματα, τήν τε δασεῖαν καὶ τὴν ψιλήν· καὶ ὅτε μὲν ἐν τόπῳ κεῖνται ψιλῶν, ὡς ψιλὰ λαμβάνονται· οἷον λεῖβ' αἴθοπα οἶνον, λέγ' αὐτοῖς τὰ αἴσια, ᾆδ' Ἀκραγαντίνοισι ταῦτα· ὅτε δὲ πάλιν ἐν τόπῳ κεῖνται δασέων ὡς δασέα λαμβάνονται, οἷον λεῖβ' ὁσίως σπουδῇ, λέγ' ἡμῖν τὰ αἴσια, ᾆδ' ὥσπερ ἐπαιδεύθης· ὅθεν καὶ μέσα λέγονται τῶν τε δασέων συμφώνων καὶ τῶν ψιλῶν. Καὶ τὸ μὲν βῆτά ἐστι μέσον τοῦ πῖ καὶ φῖ, τὸ δὲ γάμμα μέσον τοῦ κάππα καὶ χῖ, τὸ δὲ Δ μέσον τοῦ Θ καὶ Τ. Καὶ τὰ παραδείγματα δῆλα, οἷον ἕβδομος ἀπὸ τοῦ ἑπτά· καὶ ὤφειλεν εἶναι ἕπτομος, ἀλλ' ἐτράπη τὸ Π εἰς τὸ οἰκεῖον αὐτοῦ Β, μέσον γάρ ἐστι τοῦ Π καὶ Φ· ἐτράπη δὲ καὶ τὸ Τ εἰς τὸ οἰκεῖον αὐτοῦ Δ, ὅτι τὸ Δ μέσον ἐστὶ τοῦ Θ καὶ Τ.

6 Ὄγδοος ἀπὸ τοῦ ὀκτώ· καὶ ὤφειλεν εἶναι ὄκτοος· ἀλλ' ἐτράπη τὸ Κ εἰς τὸ οἰκεῖον αὐτοῦ Γ, ὅτι τὸ Γ μέσον ἐστὶ τοῦ Κ καὶ Χ, τὸ δὲ Τ ἐτράπη εἰς τὸ οἰκεῖον αὐτοῦ Δ ὅτι τὸ Δ μέσον ἐστὶ τοῦ Θ καὶ Τ. Καὶ πάλιν ἀπὸ τοῦ φέρω καὶ τοῦ νίκη Βερενίκη τροπῇ τοῦ Φ εἰς Β, καὶ ἀπὸ τοῦ χέω καὶ τοῦ λίαν, γέλως, τροπῇ τοῦ Χ εἰς Γ, ὅτι ἀπὸ διακεχυμένης ψυχῆς γίνεται ὁ γέλως. καὶ ἀπὸ οὐθ' ἕτερον οὐδέτερον ἐν συνθέσει τροπῇ τοῦ Θ εἰς Δ. Καὶ ὤφειλε τὸ Γ ταχθῆναι, μετὰ δὲ τοῦτο τὸ Β· ἐπειδὴ πέφυκε τὸ Β ὑποτάσσεσθαι τῷ Γ, ὡς τὸ λάγβατον, ὃ γίνεται ἀπὸ τοῦ λὰξ βαίνειν, σημαίνει δὲ τὸν τύπον τοῦ ἀπολακτίσματος βαινόμενον· ἀλλ' ἐπειδὴ τὸ Γ οὐδέποτε προηγεῖται τοῦ Δ ἐν τῇ ἀρχούσῃ, ἀλλ' ἐν τῷ μέσῳ, οἷον Βδέλλα, Ἕβδομος, τούτου χάριν ὡς πλείονας συντάξεις καταδεξάμενον προετάγη τοῦ Γ τὸ Β. Καὶ μετὰ τὸ Γ ἐτάχθη τὸ Δ, ὅτι ὑποτακτικόν ἐστι καὶ τοῦ Β καὶ τοῦ Γ. Ἔχει δὲ τὸ Β καὶ πλείστας δυνάμεις· καὶ γὰρ ἀντὶ τοῦ Μ παραλαμβάνεται, ὡς τὸ μολῶ μολήσω καὶ τροπῇ τοῦ Μ εἰς Β βολῶ βολήσω· καὶ ὡς τὸ κυβερνῶ, ὃ γίνεται ἀπὸ τοῦ κῦμα. ἐρευνῶ, κυμερνῶ καὶ τροπῇ τοῦ Μ εἰς Β κυβερνῶ, ὅθεν καὶ κυβερνῆτις· καὶ ὅταν τὸ κρύπτω κύβδω λέγωμεν, τροπῇ τοῦ Π εἰς τὸ οἰκεῖον αὐτοῦ Β καὶ τοῦ Τ εἰς τὸ οἰκεῖον αὐτοῦ Δ. Τὸ γὰρ Β μέσον ἐστὶ τοῦ Π καὶ Φ, τὸ δὲ Γ μέσον τοῦ Κ καὶ Χ, τὸ δὲ Δ μέσον τοῦ Θ καὶ Τ, καὶ ὅταν τὴν Φερενίκην Βερενίκην λέγωμεν κατὰ Μακεδόνας, τροπῇ τοῦ Φ εἰς Β, καὶ ἐπειδὴ, ὡς φθάσαντες εἴπομεν, τὸ Β μέσον ἐστὶ τοῦ Π καὶ Φ, ἄρα καὶ ἀμφοτέρων τὸν τόπον ἀναπληροῖ, ἤγουν ἀντ' ἀμφοτέρων λαμβάνεται. Καὶ ταῦτα περὶ τοῦ Β Γ Δ.

7 Μετὰ δὲ τὰ μέσα, ἤγουν τὸ Β Γ Δ, ἐτάχθη τὸ Ε· οὐκ ἐτάχθη δέ τι ἐκ τῶν μακρῶν, ὅτι μεταγενέστερά εἰσι τῶν βραχέων ὡς φθάσαντες εἴπομεν· ἐτάχθη δὲ τὸ Ε καὶ οὐ τὸ Ο μετὰ τὰ μέσα διὰ τὴν συγγένειαν, ἣν ἔχει πρὸς τὸ ἄλφα. τὸ γὰρ Α πολλάκις εἰς Ε τρέπεται, οἷον γενόμεθα γενόμεθεν αἰολικῶς καὶ τυπτόμεθα τυπτόμεθεν· καὶ πάλιν τὸ Ε πολλάκις εἰς Α τρέπεται, οἷον τρέχω τράχω δωρικῶς· καὶ πλέκω ἔπλακον ὁ δεύτερος ἀόριστος· καὶ σπείρω σπερῶ ἔσπαρον ὁ δεύτερος ἀόριστος. Ἐπεὶ οὖν πολλὴν συγγένειαν ἔχει τὸ Ε πρὸς τὸ Α, εὐλόγως οὐκ ἄλλο φωνῆεν παρελήφθη ἀλλὰ τὸ Ε. Μετὰ δὲ τὸ Ε ἐτάχθη τὸ Ζ, ὅτι συγγένειαν ἔχει πρὸς τὸ Δ. Τὸ γὰρ Ζ ἐκ τοῦ Σ καὶ Δ σύγκειται καὶ εἰς αὐτὰ ἀναλύεται, οἷον Θερίζω Θερίσδω καὶ Ἀθήνασδε Ἀθήναζε. Μετὰ δὲ τὸ Ζ ἐτάχθη τὸ Η, ὅτι συγγένειαν μεγάλην ἔχει τὸ Η καὶ πρὸς τὸ Α καὶ πρὸς τὸ Ε. Καὶ μαρτυροῦσιν οἱ παρωχημένοι, οἷον πᾶς ἐνεστὼς ἀρχόμενος ἀπὸ τοῦ Α, ὡς τὸ ἀγαπῶ, ἀμελῶ, ἀθετῶ καὶ τὰ ὅμοια εἰς Η αὐτὸ τὸ Α τρέπεται ἐν τοῖς παρωχημένοις, οἷον ἠγάπων, ἠγάπηκα, ἠγάπησα, ἠμέλουν, ἠμέληκα, ἠμέλησα, ἠθέτουν, ἠθέτηκα, ἠθέτησα. Ὁμοίως καὶ πᾶς ἐνεστὼς ἀρχόμενος ἀπὸ τοῦ Ε, ὡς τὸ ἐνέγκω, ἑτοιμάζω καὶ τὰ ὅμοια εἰς Η αὐτὸ τὸ Ε τρέπεται ἐν τοῖς παρωχημένοις, οἷον ἤνεγκον, ἤνεγχα, ἤνεγκα, καὶ ἡτοίμαζον, ἡτοίμακα, ἡτοίμασα. Καὶ πάντοτε μὲν εἰς Η τρέπεται τὸ κατὰ τὴν ἀρχὴν τοῦ ἐνεστῶτος Ε πλὴν

δεκατεσσάρων τινῶν σεσημειωμένων. Ἐπεὶ οὖν συγγένειαν ἔχει τὸ Η μετὰ τοῦ Α καὶ μετὰ τοῦ Ε, εὐλόγως ἐνταῦθα παρελήφθη. Τὸ Ἦτα δὲ, τὸ ὄνομα τοῦ στοιχείου δασύνεται, ὅτι παρὰ ἀρχαίοις ὁ τύπος τοῦ Η ἐν τύπῳ δασείας ἔκειτο, ὥσπερ καὶ νῦν τοῖς παλαιοῖς Ῥωμαίοις. Μετὰ δὲ τὸ Η ἐτάχθη τὸ Θ· τρεῖς γὰρ ἰδέαι τῶν στοιχείων ὕστερον ἐπενοήθησαν· δασέα, μακρὰ καὶ διπλᾶ.

8 Καὶ ἐκ μὲν τῶν διπλῶν ἐλήφθη τὸ Ζ, ἐκ δὲ τῶν μακρῶν τὸ Η· ἐχρῆν οὖν καὶ ἐκ τῶν δασέων παραλαβεῖν· εὐλόγως οὖν μετὰ τὸ Η ἐτάχθη τὸ Θ· ἔχει γὰρ συγγένειαν πρὸς τὸ Η κατὰ τὴν ποσότητα τῶν συλλαβῶν καὶ κατὰ τὴν κατάληξιν. Τὰ γὰρ ἄλλα δασέα, τὸ Φ καὶ τὸ Χ οὔτε κατὰ τὴν ποσότητα τῶν συλλαβῶν οὔτε κατὰ τὴν κατάληξιν ἔχουσι συγγένειαν πρὸς τὸ Η. Μετὰ δὲ τὸ Θ ἐτάχθη τὸ Ι· ἔχει γὰρ πολλὴν συγγένειαν μετὰ τοῦ Ε· μεγεθύνεται γὰρ τὸ Ε διὰ τῆς προσθήκης τοῦ Ι, οἷον τυφθέντος τυφθεῖσα· καὶ πάλιν διὰ τῆς ἀποβολῆς τοῦ Ι συστέλλεται, οἷον τυπεὶς τυπέντος· ἑκτόρειος ἑκτόρεος· προπερισπᾶται δέ, ὅτι τὰ ὀνόματα τῶν στοιχείων καὶ τἄλλα τῶν οὐδετέρων τὰ εἰς Α λήγοντα καὶ φύσει μακρὰ παραληγόμενα προπερισπῶνται, οἷον βῆτα, ζῆτα, ἰῶτα, βῆμα, δῶμα καὶ τὰ λοιπά. Μετὰ δὲ τὸ Ι τέτακται τὸ Κ· ἐπειδὴ τῶν φωνηέντων τὰ μέν εἰσι ψιλὰ, τὰ δὲ δασέα, τὰ δὲ μέσα· ἐπειδὴ οὖν μετὰ τὸ Η ἐπεισῆλθε στοιχεῖον δασύ, τὸ Θ δηλονότι, ἔδει καὶ μετὰ τὸ Ι ἐπεισελθεῖν στοιχεῖον ψιλόν. Τὰ γὰρ μέσα ἀνώτερα ἐτάγησαν, οὐ τέτακται δὲ τὸ Π, ἀλλ' οὔτε τὸ Τ, ὅτι συγγένειαν οὐκ ἔχουσι πρὸς τὸ Ι κατὰ τὴν κατάληξιν· τὸ δὲ Κ ἔχει συγγένειαν πρὸς τὸ Ι κατὰ τὴν κατάληξιν· εὐλόγως οὖν ἐνταῦθα τέτακται. Μετὰ δὲ τὸ Κ ἐτάχθη τὸ Λ· ἔχει γὰρ συγγένειαν πρὸς τὸ Κ κατὰ τὴν ποσότητα τῶν συλλαβῶν καὶ κατὰ τὴν κατάληξιν· καὶ ὅτι τὸ Λ ὑποτέτακται τῷ Κ κατὰ σύλληψιν, ὡς τὸ κλέος καὶ τὰ ὅμοια. Μετὰ δὲ τὸ Λ ἐτάχθη τὸ Μ· ἔχει γὰρ συγγένειαν πρὸς τὸ Λ, καθὸ ἀμετάβατον· ὅτι τὸ Λ ἀμετάβολόν ἐστιν· ἔχει γὰρ καὶ οἰκειότητα πρὸς τὴν σύνθεσιν τὸ Μ πρὸς τὸ Λ, ὡς τὸ ἕλμινς καὶ τὰ ὅμοια.

9 Μετὰ δὲ τὸ Μ ἐτάχθη τὸ Ν· ἔχει γὰρ συγγένειαν πρὸς τὸ Μ, καθὸ ἀμετάβολον, καὶ ὅτι ἀεὶ προηγεῖται τὸ Μ τοῦ Ν κατὰ σύλληψιν, ὡς ἐν τῷ μνεία καὶ ἀμνός· καὶ ὅτι τὴν αὐτὴν ποσότητα τῆς συλλαβῆς καὶ ὁμοίωσιν τῆς καταλήξεως ἔχει τὸ Ν τῷ Μ. Μετὰ δὲ τὸ Ν ἐτάχθη τὸ Ξ· ἔχει γὰρ πολλὴν συγγένειαν πρὸς τὸ Κ· ἐκ τοῦ Κ γὰρ καὶ Σ σύγκειται. καὶ ὥσπερ οὖν τὸ Κ, τὸ συγγενὲς τοῦ Ξ, προτέτακται τοῦ Λ Μ Ν, ἐκ τοῦ ἐναντίου αὖ ὑποτέτακται τούτοις τὸ Ξ. Μετὰ δὲ τὸ Ξ φωνῆεν ἐπεισῆλθε τὸ Ο εὐλόγως· ὅτι οὐδέποτε μετὰ τὰ διπλᾶ σύμφωνον ἐπιφέρεται, ἀλλὰ φωνῆεν καὶ ἐν προτακτικῇ συλλαβῇ ὡς τὸ ζητῶ, ψηφῶ, ξυνῶ· καὶ ἐν ὑποτακτικῇ ὡς τὸ Ὀζήλα, ὀψία, ὀξεῖα· οὐ τέτακται δὲ ἐνταῦθα τὸ Υ, ὅτι τὸ Υ ὑποτακτικόν ἐστι τοῦ Α καὶ τοῦ Ε καὶ τοῦ Ο· καὶ ὥσπερ τὸ Ε προετάγη τοῦ Ι, τοῦ ἔχοντος πρὸς αὐτὸ συγγένειαν· οὕτω καὶ τὸ Ο μικρὸν προετάγη τοῦ Υ, ἔχοντος πρὸς αὐτὸ συγγένειαν· τὸ γὰρ Ο μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ Υ μεγεθύνεται, οἷον λέοντος λέουσι καὶ λέγοντος λέγουσι. Ἀλλ' οὐδὲ τὸ Ω μέγα ἐτάχθη ἐνταῦθα· ὅτι ὥσπερ τὸ Ε προετάγη τοῦ Η, δι' ἣν εἴπομεν αἰτίαν ἐκεῖ· οὕτως ἔπρεπε καὶ τὸ Ο μικρὸν προταχθῆναι τοῦ Ω μεγάλου· καθὸ ἀρχαιότερα τῶν μακρῶν. Μετὰ δὲ τὸ Ο μικρὸν ἐτάχθη τὸ Π· ἔχει γὰρ συγγένειαν πρὸς τὸ Ο κατὰ τὴν ποσότητα τῆς συλλαβῆς· ἔχει γὰρ καὶ οἰκειότητα πρὸς τὴν σύνθεσιν τὸ Π πρὸς τὸ Ο, ὡς τὸ Ὀππιανός, ὅπα, ὀπάζω καὶ τὰ ὅμοια. Μετὰ δὲ τὸ Π ἐτάχθη τὸ Ρ, ἐπειδὴ πέφυκε τὸ Ρ ὑποτάσσεσθαι τῷ Π ὡς ἐν τῷ πρῶτος καὶ τὰ ὅμοια. Μετὰ δὲ τὸ Ρ ἐτάχθη τὸ Σ· ἐπειδὴ εὑρίσκεται τὸ Σ ὑποτασσόμενον τῷ Ρ, ὡς ἐν τῷ μάκαρς καὶ τὰ ἑξῆς.

10 Μετὰ δὲ τὸ Σ ἐτάχθη τὸ Τ· ἐπειδὴ πέφυκε τὸ Τ ὑποτάσσεσθαι τῷ Σ, ὡς ἐν τῷ σταυρός, ἵστημι κ.τ.λ. Μετὰ δὲ τὸ Τ ἐτάχθη τὸ Υ φωνῆεν· ἔχει γὰρ συγγένειαν πρὸς τὸ Τ κατὰ τὴν ποσότητα τῆς συλλαβῆς· ἔχει δὲ καὶ οἰκειότητα πρὸς τὴν σύνθεσιν τὸ Υ πρὸς τὸ Τ, ὡς τὸ τύπτω, τύπος καὶ τὰ ὅμοια. Οὐ τέτακται δὲ ἐνταῦθα τὸ Ω μέγα, ἐπειδὴ ἀρχαιότερόν ἐστι τὸ Υ τοῦ Ω μεγάλου· ἔχει δὲ καὶ γνησιότητα μεγάλην τὸ Υ πρὸς τὸ Ο μικρὸν δι' ἣν εἴπομεν αἰτίαν ἐν τῇ ἀκολουθίᾳ τοῦ Ο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μικροῦ· εὐλόγως οὖν μετὰ τὸ Ο οὐχ ὑπεισῆλθεν ἄλλο φωνῆεν. Μετὰ δὲ τὸ Υ τέτακται τὸ Φ καὶ τὸ Χ· ἐπεὶ οὐδέποτε εὑρίσκεται τὸ Υ ἄρχον λέξεως, ἐπιφερομένου τοῦ Χ, ὅθεν οὐχ εὑρίσκεται ἔχειν συγγένειαν τὸ Χ πρὸς τὸ Υ· τὸ δὲ Υ ἀρχόμενον λέξεως εὑρίσκεται ἐπιφερομένου τοῦ Φ, οἷον ὑφαίνω καὶ τὰ ὅμοια. Μετὰ δὲ τὸ Φ ἐτάχθη τὸ Χ· ἔχουσι γὰρ συγγένειαν, καθὸ ἀμφότερά εἰσι δασέα καὶ προτακτικὰ τοῦ Θ. Ὑπελήφθη οὖν τὸ Ψ καὶ λοιπὸν ἐξ ἀνάγκης ἐτάχθη μετὰ τὸ Χ· ἔχει δὲ καὶ συγγένειαν πρὸς τὸ Χ κατὰ τὴν ποσότητα τῆς συλλαβῆς καὶ κατὰ τὴν ὁμοιότητα τῆς καταλήξεως. Μετὰ δὲ τὸ Ψ ἐτάχθη τὸ Ω μέγα· οὐ τέτακται δὲ πρὸ τοῦ Ψ ἀλλὰ μετὰ τὸ Ψ· τοῖς γὰρ διπλοῖς ἀεὶ φωνῆεν ἐπιφέρεται, ὡς φθάσαντες εἴπομεν· τὰς δὲ ἐτυμολογίας αὐτῶν εὑρήσεις ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ. Φασὶ δέ τινες, ὅτι ἕως τῶν τρωϊκῶν οὐκ ἐγιγνώσκετο γράμματα καὶ δῆλον ἐκ τοῦ μὴ σωθῆναι ποίημά τι τῶν κατὰ τοὺς ὁμηρικοὺς χρόνους, εἰ καὶ ἱστοροῦσί τινας ποιητὰς προγεγεννῆσθαι Ὁμήρου Μουσαῖόν τε καὶ Ὀρφέα καὶ Λίνον· ἀλλ' ὅμως οὐδὲν εἰς τὰ μέτρα ταῦτα διασωθῆναι συμβέβηκε πρὸ τῆς Ὁμήρου ποιήσεως· ἀλλ' οὐδὲ πρεσβύτερον ἄλλο τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας σώζεσθαι ποίημα· ἀλλ' ἐρεῖ τις· πῶς; ἐπεὶ γράμματα σώζονται νομιζόμενα πρεσβύτερα Ἰλιάδος καὶ Ὀδυσσείας· Καὶ φαμέν, ὅτι τὰ μὲν τούτων ἐψευσμένους ἔχουσι τοὺς χρόνους, τὰ δὲ νεωτέρων τινῶν ὁμωνυμίας τῶν παλαιῶν τὰς ἐπιγραφὰς ἔχουσι.

11 Καὶ οἱ ἥρωες δὲ ἀγράμματοί τινες ἦσαν καὶ σημείοις καὶ συμβόλοις πρὸς ἀλλήλους ἐν τῇ κατὰ τὸν βίον ἀναστροφῇ χρώμενοι ἐδήλουν ἀλλήλοις ἃ ἤθελον· ἐν πίναξι δὲ καὶ ἐν σανίσιν ἔγραφον διὰ ζωγράφησίν τινα καὶ διατύπωσιν τῶν πραγμάτων ὧν ἤθελον· ἀλλ' ἐρεῖ τις, ὅτι ἄτοπόν ἐστι λέγειν ἀπαιδεύτους τοὺς ἀρίστους τοῦ ἀνθρωπείου γένους. Καὶ φαμέν, ὡς οὐκ ἔστιν ἀπαιδευσίας τεκμήριον τὸ εἶναί τινα ἀγράμματον· καὶ γὰρ ὁ φιλόσοφος Πλάτων ἐν Φαίδρῳ διαβάλλει τὴν εὕρεσιν τῶν γραμμάτων ὡς ἐπὶ λύμῃ παιδείας γεγονυῖαν· ζώσῃ γὰρ φωνῇ τὴν φιλοσοφίαν πάλαι ἐπαιδεύοντο· ὅτι δὲ ποιητικοῦ τινος ἀνδρὸς καὶ μουσικοῦ ἡ τῶν στοιχείων εὕρεσις ἦν καὶ μουσικῆς καὶ γραμματικῆς, ὡς ὁ Εὔπολις εἰσάγει ἐν Αἰξί, καὶ Ἰσοκράτης ὅμοιον ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Εὑρέθησαν μὲν τὰ πρῶτα δεκαέξ· ἀλλ' αἱ ἐκφωνήσεις τούτων εἰκοσιτέσσαρες ἦσαν, εἰ καὶ μήπω εὑρημένοι ἦσαν οἱ χαρακτῆρες. Καὶ γὰρ αἱ ἐκφωνήσεις ἐπληροῦντο τῶν δεκαὲξ στοιχείων μετά τινων προσῳδιῶν. Φασὶ γάρ· πρὶν εὑρεθῆναι τὰ δασέα, τοῖς ψιλοῖς ἐχρῶντο μετὰ τῆς δασείας, καὶ εἰ μὲν ἤθελον ποιῆσαι Χ ἐποίουν ΚΗ, εἰ δὲ ἤθελον ποιῆσαι Φ ἐποίουν ΠΗ, εἰ δὲ ἤθελον ποιῆσαι Θ ἐποίουν ΤΗ, ὥσπερ καὶ νῦν οἱ παλαιοὶ Ῥωμαῖοι ποιοῦσι, μὴ ἔχοντες δασέα.

12 Καὶ πάλιν τὰ διπλᾶ· ἀντὶ τοῦ Ζ ἐχρῶντο τῷ ΣΔ, ἀντὶ δὲ τοῦ Ξ ἐχρῶντο τῷ ΚΣ, ἀντὶ δὲ τοῦ Ψ ἐχρῶντο τῷ ΠΣ. Καὶ πάλιν ἀντὶ τῶν μακρῶν ἐχρῶντο τοῖς βραχέσι φωνήεσι μετὰ τῆς μακρᾶς. Καὶ εἰ μὲν ἤθελον ποιῆσαι ω μέγα ἐποίουν Ο καὶ μακρὰν οὕτως Ο , εἰ δὲ ἤθελον ποιῆσαι Η ἐποίουν Ε καὶ μακρὰν οὕτως Ε . Καὶ περὶ τούτων ἅλις. Περὶ γράμματος. Γράμμα ἐστὶ χαρακτὴρ καὶ τύπος στοιχείου εἰδοποιούμενος ποιότητος καὶ ποσότητος γραμμῶν. Διενήνοχε δὲ ἀλλήλων τὰ γράμματα οὕτως, ὅτι τὸ μὲν Δ τρίγωνόν ἐστι, τὸ δὲ Ε ἐπίμηκες, τὸ δὲ Ξ στρογγύλον, καὶ τὰ λοιπὰ ὁμοίως. Περὶ στοιχείου. Στοιχεῖόν ἐστιν ἡ δύναμις καὶ ἡ ἐκφώνησις τοῦ γράμματος· γεγραμμένου γὰρ Ο καὶ Ω τὸ μὲν Ο συστέλλοντες ἐκφωνοῦμεν· καὶ ἤτοι προσπνέοντες ἢ δασύνομεν ἢ ψιλοῦμεν, ὡς τύπους μὲν εἶναι γραμμάτων εἰκοσσιτέσσαρας, δυνάμεις δὲ ἐκφωνήσεων πλείονας· οἱ γὰρ παλαιοὶ ἄλλως ἐξεφώνουν τὸ βραχὺ Α καὶ ἄλλως τὸ μακρὸν καὶ ἄλλως τὸ ψιλούμενον καὶ ἄλλως τὸ δασυνόμενον καὶ ἄλλως τὸ ὀξυνόμενον καὶ τὸ περισπώμενον. Εὑρίσκομεν δὲ ἐκφωνήσεις τοῦ Α δέκα μὲν Α μακρὸν δασὺ περισπώμενον Α μακρὸν ψιλούμενον καὶ ὀξυνόμενον Α μακρὸν δασυνόμενον καὶ ὀξυνόμενον Α μακρὸν δασυνόμενον καὶ βαρυνόμενον Α μακρὸν ψιλούμενον καὶ βαρυνόμενον Α μακρὸν ψιλούμενον

καὶ περισπώμενον Α βραχὺ δασυνόμενον καὶ ὀξυνόμενον Α βραχὺ ψιλούμενον καὶ ὀξυνόμενον Α βραχὺ δασυνόμενον καὶ βαρυνόμενον Α βραχὺ ψιλούμενον καὶ βαρυνόμενον.

13 Καὶ αἱ μὲν διαφοραὶ τοῦ Α τοιαῦται, ὁμοίως καὶ ἐπὶ τοῦ Ι. Ι μακρὸν δασυνόμενον καὶ ὀξυνόμενον Ι μακρὸν δασυνόμενον καὶ βαρυνόμενον Ι μακρὸν δασυνόμενον καὶ περισπώμενον Ι μακρὸν ψιλούμενον καὶ ὀξυνόμενον Ι μακρὸν ψιλούμενον καὶ βαρυνόμενον Ι μακρὸν ψιλούμενον καὶ περισπώμενον Ι βραχὺ δασυνόμενον καὶ ὀξυνόμενον Ι βραχὺ δασυνόμενον καὶ βαρυνόμενον Ι βραχὺ ψιλούμενον καὶ ὀξυνόμενον Ι βραχὺ ψιλούμενον καὶ βαρυνόμενον. περισπωμένη δὲ ἐπάνω βραχείας συλλαβῆς οὐ τίθεταί ποτε. Οἱ παλαιοὶ τοίνυν οὐχ ὁμοίως τὰ μακρὰ καὶ τὰ βραχέα ἐξεφώνουν· ἀλλ’ ἐπὶ μὲν τῶν μακρῶν διπλασίονα ὥραν ἐποίουν, ἐπὶ δὲ τῶν βραχέων ἐλάττονα. Καὶ ἄλλως τὰ δασέα ἐξεφώνουν καὶ ἄλλως τὰ ψιλά. Υ μακρὸν δασυνόμενον καὶ ὀξυνόμενον Υ μακρὸν δασυνόμενον καὶ βαρυνόμενον Υ μακρὸν δασυνόμενον καὶ περισπώμενον Υ βραχὺ δασυνόμενον καὶ ὀξυνόμενον Υ βραχὺ δασυνόμενον καὶ βαρυνόμενον. [κ.τ.λ.] Α φωνῆεν δίχρονον, μεταβολικόν, προτακτικὸν τοῦ Ι καὶ Υ. Β σύμφωνον ἄφωνον, μέσον τοῦ Π καὶ Φ. Γ σύμφωνον ἄφωνον, μέσον τοῦ Κ καὶ Χ. Δ [σύμφωνον ἄφωνον, μέσον τοῦ Τ καὶ Θ]. Ε φωνῆεν βραχὺ μεταβολικόν, προτακτικὸν τοῦ Ι καὶ Υ. Ζ σύμφωνον ἡμίφωνον, διπλοῦν, ἀρκτικόν, ἔχον ἐν αὐτῷ τὴν τοῦ Σ καὶ Δ δύναμιν.

14 Η φωνῆεν μακρὸν ἀμετάβολον, προτακτικὸν τοῦ Ι καὶ Υ. Θ σύμφωνον ἄφωνον, δασύ, ἀντιστοιχοῦν τῷ Τ. Τ φωνῆεν δίχρονον, ἀμετάβολον, ὑποτακτικὸν τοῦ Υ. Κ σύμφωνον ἄφωνον, ψιλόν, ἀντιστοιχοῦν τῷ Χ. Λ σύμφωνον ἡμίφωνον, ἀμετάβολον, ὑγρόν, λεῖον. Μ σύμφωνον ἡμίφωνον, ἀμετάβολον, ὑγρὸν ἐκφωνούμενον καὶ μυγμὸν ἐκπέμπον. Ξ σύμφωνον ἡμίφωνον, διπλοῦν, ἀρκτικόν, ἔχον ἐν αὐτῷ τὴν τοῦ Κ καὶ Σ δύναμιν. Ο φωνῆεν βραχύ, μεταβολικόν, προτακτικόν, ἀντιστοιχοῦν τῷ Ω μεγάλῳ. Π σύμφωνον ἄφωνον, ψιλόν, ἀντιστοιχοῦν τῷ Φ. Ρ σύμφωνον ἡμίφωνον, ἀμετάβολον, ὑγρὸν ἐκφωνούμενον καὶ ῥοῖζον ἐκπέμπον. Σ σύμφωνον ἡμίφωνον, μοναδικόν. Τ σύμφωνον ἄφωνον, ψιλόν, ἀντιστοιχοῦν τῷ Θ. Υ φωνῆεν δίχρονον, ὑποτακτικὸν καὶ προτακτικὸν τοῦ Ι. Φ σύμφωνον ἄφωνον, δασύ, ἀντιστοιχοῦν τῷ Π. Χ σύμφωνον ἄφωνον, δασύ, ἀντιστοιχοῦν τῷ Κ. Ψ σύμφωνον ἡμίφωνον, διπλοῦν, ἀρκτικόν, ἐν ἑαυτῷ ἔχον τὴν τοῦ Π καὶ Σ δύναμιν. Ω φωνῆεν μακρὸν ἀμετάβολον, προτακτικόν, ἀντιστοιχοῦν τῷ Ο. Πόθεν συνίστανται τὰ στοιχεῖα; Ἐπειδὴ ἐκ τῆς φωνῆς τὰ στοιχεῖα συνίστανται, τὸ δὲ στοιχεῖόν ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ἀναγκαῖόν ἐστιν ἡμᾶς πρῶτον διαλαβεῖν περὶ τῆς φωνῆς. Ὅρος φωνῆς.

15 Τί ἐστι φωνή; φωνή ἐστιν ἀὴρ πεπληγμένος ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς. Ἀλλ’ ἐπειδὴ ὁ ἀὴρ σῶμά ἐστιν, ὁ δὲ Πλάτων οὐ δοξάζει τὴν φωνὴν σῶμα, λέγει τὸν ὅρον τῆς φωνῆς οὕτως· φωνή ἐστι πληγὴ ἀέρος ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς. Εἰσὶ δέ τινες λόγοι δεικνῦντες τὴν φωνὴν ἀσώματον καὶ ἔχουσιν οὕτως· Τῶν πραγμάτων τὰ μὲν ἐν τῷ γίγνεσθαι ἔχουσι τὸ εἶναι, τὰ δὲ ἐν τὸ γεγονέναι· ἄρα οὖν ἡ φωνὴ ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι καὶ μετὰ ταῦτα οὐχ ὑφίσταται· δηλονότι οὐκ ἔστι σῶμα. Γνῶμαι παλαιαὶ περὶ φωνῆς. Ὁ δὲ Δημόκριτος καὶ ὁ Ἐπίκουρος καὶ οἱ Στωϊκοὶ σῶμα λέγουσι τὴν φωνήν, ὅτι πᾶν, ὃ ἔχει ἐνέργειαν καὶ πάθος, ἤγουν δύναται δρᾶσαι καὶ παθεῖν, σῶμά ἐστιν. Ὥσπερ ὁ σίδηρος· πάσχει γὰρ οὗτος ὑπὸ πυρός, δρᾷ δὲ εἰς ἀνθρώπους καὶ εἰς τὰ ξύλα καὶ πέτρας· εἰ τοίνυν ἡ φωνὴ καὶ δρᾷ καὶ πάσχει, σῶμά ἐστιν. Καὶ δρᾷ μέν, ἡνίκα ἀκούοντες ἡμεῖς ἢ φωνῆς ἢ κιθάρας πρὸς τέρψιν ἐρχόμεθα· πάσχει δέ, ὡς ὅταν φωνούντων ἡμῶν πνεύσῃ ἄνεμος, καὶ ποιήσῃ ἧττον ἀκούεσθαι τὴν φωνήν. Καὶ ἔτι πᾶν αἰσθητὸν σῶμά ἐστιν, οἷον τὸ ξύλον καὶ ὁ σίδηρος, ὁ λίθος καὶ τὰ ὅμοια. Ταῦτα γὰρ αἰσθητά εἰσι καὶ τῇ ὁράσει ὑποπίπτουσιν. Αἰσθητὸν τοίνυν καὶ ἡ φωνή ἐστι καὶ τῇ ἀκοῇ ὑποπίπτει· ἄρα ἡ φωνὴ σῶμά ἐστιν. Καὶ ἔτι ἴδιον τοῦ σώματός ἐστι τὸ ποτὲ μὲν αὐξάνεσθαι, ποτὲ δὲ λήγειν. Ἡ οὖν φωνὴ ποτὲ μὲν αὔξεται, ποτὲ δὲ λήγει· ἄρα σῶμά ἐστιν. Ἐπὶ μὲν τῶν παιδίων βραχεῖά ἐστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ φωνή, μικρῶν ὄντων· αὐξηθέντων δὲ μεγάλη· λήγει δὲ ἐπὶ τῶν ἀσθενούντων. Καὶ ἔτι πᾶν τὸ ἀντιτυποῦν σωμά ἐστιν, ὡς ἐπὶ τοῦ λίθου· καὶ γὰρ ἁπτομένων ἡμῶν τοῦτο, ἀντιτυπία γίνεται.

16 Τότε οὖν γίνεται ἡ ἀντιτυπία, ὅταν εὑρεθῇ τι προσκροῦον· εἰ οὖν ἡ φωνὴ ἀντιτυπεῖ προσκρούουσα ταῖς ἀκοαῖς, ἄρα σῶμά ἐστιν. Ἐπὶ τίνων κυρίως ἡ φωνή. Φωνὴ δὲ λέγεται κυρίως ἐπὶ ἀνθρώπων, ὡς παρὰ τῷ ποιητῇ (Il. 11, 489) Οὐδ’ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ’ εἶεν, Φωνὴ δ’ ἄῤῥηκτος· καταχρηστικῶς δὲ καὶ ἐφ’ ἑτέρων. Εἴρηται δὲ φωνὴ διὰ τὸ εἶναι φῶς νοῦ, ἤγουν ἡ τὰ ἐν τῷ νῷ φωτίζουσα· τὰ γὰρ ἐνδιάθετα καὶ κεκρυμμένα τοῦ νοῦ, φανερὰ ἡμῖν ἡ φωνὴ ἐμποιεῖ, καὶ τὰ νοήματα λαμπρῶς δείκνυσιν· ἄλλοι δὲ τὴν φωνὴν οὕτως ὁρίζονται· φωνή ἐστι πνεῦμά τι ἀπὸ συστήματος ἰδίου καὶ αἵματος ἀναφερόμενον ἕως τῆς γλώττης, ὑφ’ ἧς τυπτόμενον αὐτὸ διαρθροῦται καὶ νοητὸν ταῖς πλησίον ἀκοαῖς παραδίδοται. Διὰ τί εἴκοσι τέσσαρα γράμματα. Εἴκοσι τέσσαρα δὲ γράμματά εἰσιν κατὰ μίμησιν τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου. Καὶ τὰ μὲν φωνήεντα ἀναλογοῦσι τῇ ἡμέρᾳ, τὰ δὲ σύμφωνα ἀναλογοῦσι τῇ νυκτί. Ἢ τὰ μὲν φωνήεντα ἀναλογοῦσι τῇ ψυχῇ, τὰ δὲ σύμφωνα τῷ σώματι. Ἑπτὰ δέ εἰσι τὰ φωνήεντα κατὰ μίμησιν τῶν ἑπτὰ πλανητῶν· λέγονται δὲ φωνήεντα, ὅτι ἀφ’ ἑαυτῶν φωνὴν ἀποτελοῦσι· σύμφωνα δέ εἰσι δεκαεπτά· λέγονται δὲ σύμφωνα, ὅτι ἀφ’ ἑαυτῶν φωνὴν οὐκ ἀποτελοῦσι, ἂν μὴ συντεθῶσι τοῖς φωνήεσιν· ἐξ αὐτῶν δέ εἰσιν ὀκτὼ ἡμίφωνα· λέγονται δὲ ἡμίφωνα, διότι παρόσον ἧττον καθεστήκασιν εὔφωνα τῶν φωνηέντων ἔν τε τοῖς μυγμοῖς καὶ σιγμοῖς· καὶ μυγμοὶ μέν εἰσιν οἱ διὰ τῶν μυκτήρων ἦχοι, σιγμοὶ δὲ οἱ ἐξ ἄκρας τῆς ὑπερώας συριγμοί.

17 Σὶξ γὰρ ὁ ὀφθαλμὸς καλεῖται, ἀπὸ δὲ τοῦ μέρους τὸ πᾶν ἐδήλωσε. Καὶ μυγμὸν μὲν ποιοῦσι τὸ Σ. Ξ. Ψ. Μ. Ν. Ζ· σιγμὸν δὲ τὸ Λ. Ρ. Ἄφωνα δὲ ἐννέα· λέγονται δὲ ἄφωνα, διότι μᾶλλον τῶν ἄλλων εἰσὶ κακόφωνα. Περὶ ὀνόματος. Παρέπεται δὲ τῷ ὀνόματι πέντε, ὅτι καὶ τῶν ἀρσενικῶν ὀνομάτων τελικά εἰσι πέντε σύμφωνα, τὸ Σ, οἷον Αἴας, το Ρ, οἷον Νέστωρ, τὸ Ψ, οἷον Ἄραψ, τὸ Ξ, οἷον ἄνθραξ, τὸ Ν, οἷον Θέων, ὅτι καὶ τῷ σώματι πέντε αἰσθήσεις παρέπονται. Ἰστέον δέ, ὅτι τὰ ἑπτὰ εἴδη τῶν παραγώγων εἰσὶ κατὰ φωνήν, τὰ δὲ εἰκοσιτέσσαρα εἴδη τῶν ὑποπεπτωκότων τῷ ὀνόματί εἰσι κατὰ σημασίαν. Περὶ δὲ τοῦ λόγου κατὰ τοὺς φιλοσόφους, πέντε· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος καὶ ἄρθρον. Ὄνομά ἐστι μέρος λόγου σημαῖνον κοινὴν ποιότητα, οἷον ἄνθρωπος. Ῥῆμά ἐστι μέρος λόγου σημαῖνον ἄπτωτον κατηγόρημα. Σύνδεσμός ἐστι μέρος λόγου ἄπτωτον συνδοῦν τὰ μέρη τὰ λοιπὰ τοῦ λόγου. Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικόν, διορίζον τὰ γένη τῶν ὀνομάτων καὶ τοὺς ἀριθμούς. Παρέπεται δὲ τῷ λόγῳ πέντε· ἑλληνισμός, σαφήνεια, συντομία, πρέπον καὶ διασκευή. Ἰστέον δέ, ὅτι τὰ μέρη τοῦ λόγου καλοῦσιν οἱ φιλόσοφοι στοιχεῖα· ὥσπερ γὰρ τὰ στοιχεῖα ἀποτελοῦσι τὰς συλλαβάς, καὶ τὰ κοσμικὰ στοιχεῖα ἀποτελοῦσι τὰ ἀνθρώπινα σώματα καὶ τὰ ἄλλα· οὕτω καὶ ταῦτα ἀπερχόμενα ἀπαρτίζουσι τὸν λόγον. Προτέτακται δὲ τὸ ὄνομα τοῦ ῥήματος, ὅτι τὸ ὄνομα κατ’ οὐσιῶν λέγεται, τὸ δὲ ῥῆμα κατὰ πραγμάτων.

18 Κυριώτεραι δέ εἰσιν αἱ οὐσίαι τῶν πραγμάτων· ὅτι ὥσπερ ἡ ψυχὴ καὶ τὸ σῶμα, ὄντα ἐξ αὐτῶν, ποιοῦσι προϊέναι τὰ ἄλλα, καὶ ὥσπερ ψυχῆς καὶ σώματος συνισταμένης τὰ ἄλλα συνίστανται καὶ γίνονται· οὕτω καὶ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, ὄντων καὶ συνισταμένων ἐξ αὐτῶν, καὶ τὰ ἄλλα ἐξίασι καὶ συνίστανται. Πρὸ τοῦ ῥήματος δὲ ἐξ ἀνάγκης κεῖται τὸ ὄνομα. Ἐπειδὴ τὸ ἐνεργεῖν τε καὶ πάσχειν τῆς οὐσίας ἐστί, καθ’ ἣν ἡ Θέσις τῶν ὀνομάτων ἐστίν· ἐξ ὧν ὀνομάτων δηλαδὴ ἡ ἰδιότης τοῦ ῥήματος γεννᾶται. Τοῦτο δέ ἐστιν ἡ ἐνέργεια καὶ τὸ πάθος. Ἔνεστι τοιγαροῦν συννοουμένη ἐν αὐτοῖς τοῖς ῥήμασιν ἡ εὐθεῖα, ἧς ἄνευ οὐχ οἵα τέ ἐστιν ἡ οὐσία δηλωθῆναι, ἐν μὲν τῷ πρώτῳ καὶ δευτέρῳ προσώπῳ διωρισμένη, ἐν δὲ τῷ τρίτῳ προσώπῳ ἀδιόριστος· ἐπειδήπερ ἀναρίθμητά εἰσι τὰ τρίτα πρόσωπα, εἰ μὴ κατ’ ἐξοχὴν ἡ ἐνέργεια γίνοιτο, ὡς τὸ ὕει καὶ βροντᾷ καὶ ἀστράπτει. Ταῦτα γάρ, εἰ καὶ τὸ ὄνομα οὐ προστίθεμεν, διωρισμένα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοκεῖ εἶναι, ὁπότε τῷ θεῷ ἔνεισιν. Μετὰ δὲ τὸ ῥῆμα εἰκότως τέτακται ἡ μετοχή, ἐξ οὗτινος ῥήματος γεννᾶται. Ἀναγκαίως γὰρ αἱ τῶν ῥημάτων προφοραὶ εἰς τὰ πτωτικὰ σχήματα μετηνέχθησαν μετὰ τῶν συμβεβηκότων αὐτοῖς γενῶν, ἢ διὰ ῥημάτων καὶ μετὰ συνδέσμου, ὅτι ἀναγιγνώσκω καὶ προκόπτω· καὶ δείκνυται πᾶσιν ἐντεῦθεν, ὅτι ἐκ τοῦ ἀναγιγνώσκειν ἐπιγίνεται τὸ προκόπτειν· εἰ δὲ λέγοιμι δι’ ἀντωνυμίας, εἴτε κατὰ εὐθεῖαν, εἴτε κατὰ πλαγίαν καὶ δίχα συνδέσμου, ἡ ἀκολουθία σώζεται τῶν ῥημάτων· οἷον ἀναγιγνώσκω προκόπτων· ἐμοῦ προκόπτοντος ὁ διδάσκαλος χαίρει· δείκνυται γὰρ ἐντεῦθεν, ὅτι το μὲν προκόπτειν ἐμὲ ἐκ τοῦ ἀναγιγνώσκειν ἐστί, τὸ δὲ χαίρειν τὸν διδάσκαλον ἐκ τοῦ προκόπτειν ἐμέ.

19 Μετὰ δὲ τὴν μετοχὴν τίθεται τὸ ἄρθρον· μόνων γὰρ τῶν ὀνομάτων καὶ τῶν μετοχῶν προτίθεται, καὶ διὰ τοῦτο μετ’ ἐκεῖνα τάσσεται, ἀναγκαῖα ὄντα σὺν ἐκείνοις ἐκφέρεσθαι· εἰ γὰρ καὶ τῶν ἀντωνυμιῶν προτίθεται, ἀλλ’ οὐχὶ πασῶν· προτίθεται δὲ τῆς αὐτός ἀντωνυμίας· λέγομεν γὰρ ὁ αὐτός, ὅπερ ποτὲ μὲν ὡς ἀναφορικὴ ἀντωνυμία λαμβάνεται, ὡς ὅταν ἐρωτηθῶμεν· τίς συνεγράψατο τὴν Ἰλιάδα; καὶ εἴπωμεν· ὁ Ὅμηρος· καὶ πάλιν ἐρωτηθῶμεν· τίς συνεγράψατο τὴν Ὀδύσσειαν; καὶ εἴπωμεν· ὁ αὐτός, ποτὲ δὲ ὡς ὄνομα λαμβάνεται, δηλοῦν τὴν ἰσότητα, ὡς ὅταν εἴπωμεν· ὁ Φάλαρις κατὰ τὴν ὠμότητα ὁ αὐτὸς ἦν τῷ Ἐχέτῳ, τουτέστιν ἴσος. Μετὰ δὲ τὸ ἄρθρον τάσσεται ἡ ἀντωνυμία· καὶ γὰρ ἔδει μετὰ τὸ ὄνομα εὐθὺς αὐτὴν κεῖσθαι, ὡς λαμβανομένην ἀντὶ ὀνόματος· ἀλλὰ διὰ τὰς προῤῥηθείσας αἰτίας προετάχθησαν ταύτης ἕτερα μέρη. Φαίνεται δὲ καὶ ἡ πρόθεσις ἐκ τῆς παρηγορίας εἶναι πρεσβυτέρα τῶν ἑπτὰ τοῦ λόγου μερῶν καὶ διὰ τοῦτο ὤφειλε προτίθεσθαι τούτων· ἀλλ’ ὅταν μὲν προτίθηται πάντων τῶν τοῦ λόγου μερῶν φανερόν ἐστιν ἀλλ’ οὐ κατὰ τὴν ἐπαρίθμησιν, ἀλλὰ κατὰ μόνην τὴν σύνταξιν. Εἰ γὰρ μὴ ἦν ἐκεῖνα τὰ ἑπτὰ τοῦ λόγου, οὐδ’ ἂν αὕτη συνίστασθαι εἶχεν, ὃ καὶ περὶ τῆς μετοχῆς εἴπομεν. Ἐκ γὰρ τῶν προειρημένων τοῦ λόγου μερῶν τὴν τάξιν ἔσχεν ἡ πρόθεσις καὶ ποτὲ μὲν ἐν συνθέσει, ποτὲ δὲ ἐν παραθέσει τῶν αὐτῶν τοῦ λόγου μερῶν προτίθεται· ἔστιν ἄρα τὴν μὲν φύσιν ὑστέρα, τὴν δὲ σύνταξιν προτέρα. Τὸ δὲ ἐπίῤῥημα δυνάμει μὲν ἐπίθετόν ἐστι τοῦ ῥήματος, ὡς καὶ αὐτὸ τὸ ὄνομα τούτου δηλοῖ. Εἰκότως δὲ ἐτέθη μετὰ τὴν πρόθεσιν· ὥσπερ γὰρ μετὰ τὸ ὄνομα ἐν τῇ δευτέρᾳ χώρᾳ δικαίως τέτακται τὸ ῥῆμα· οὕτω καὶ μετὰ τὴν πρόθεσιν ἐν τῇ δευτέρᾳ χώρᾳ δίκαιον τέτακται τὸ ἐπίῤῥημα, ἥτις ἐν παραθέσει οὖσα δύναμιν λέξεως ἑαυτῇ συντηροῦσα προτίθεται τῶν τε ὀνομάτων καὶ τῶν ἄλλων πτωτικῶν, ἐν συνθέσει δὲ οὖσα τὴν τῆς ἰδιαζούσης λέξεως δύναμιν ἀπόλλυσι, προσχωροῦσα τοῦ λόγου μέρει ἐκείνῳ, ᾧ καὶ συνάπτεται.

20 Ἰστέον δέ, ὅτι μετὰ τῶν προειρημένων τοῦ λόγου μερῶν τάττεται δικαίως ὁ σύνδεσμος· ἐπειδὴ μηδεμίαν διάνοιαν δύναται δηλῶσαι καθ’ ἑαυτόν, δίχα τῶν προτεθεισῶν λέξεων, ἤτοι μερῶν τοῦ λόγου· ὥσπερ καὶ οἱ τῶν σωμάτων σύνδεσμοί εἰσιν ἄχρηστοι, εἰ μὴ τὰ σώματα εἴη ὑπὸ τούτων συνδούμενα. Ζητητέον, τίνος χάριν αἱ ἐρωτηματικαὶ τῶν λέξεων εἰς δύο μόνα μέρη τοῦ λόγου προσεχώρησαν, εἰς τὸ ὄνομα δηλονότι καὶ τὸ ἐπίῤῥημα. Καὶ τί δήποτε μὴ εἰς ἓν ὄνομα καὶ ἓν ἐπίῤῥημα ἀλλ’ εἰς πλείονα, οἷον τίς, πότερος, ποῖος, ποῦ, πῆ, πόθεν, πότε, ποσάκις, ποσαχῶς, ἦ, ἆρα. Τοῦτο μὲν οὖν καὶ ἀπόδειξίς ἐστι τοῦ πρεσβύτερα καὶ ἀρχικώτερα τὰ δύο ταῦτα μέρη τοῦ λόγου εἶναι, τὸ ὄνομα δηλαδὴ καὶ τὸ ῥῆμα, ἅπερ, ἐπειδὰν ἀγνοῶνται συχνὴν τὴν περὶ αὐτῶν ἐρώτησιν λαμβάνουσι, καὶ τὰ μὲν ἐρωτηματικὰ ὀνόματα τὸ ὄνομα ζητοῦσι, τὰ δὲ ἐπιῤῥηματικά, τὸ ῥῆμα. Εὑρίσκονται δὲ ἐν πολλοῖς ὀνόμασι καὶ ἐν πολλοῖς ἐπιῤῥήμασιν, ὡς ἐδείξαμεν διὰ τόνδε τὸν λόγον, ὅτι ἐν τούτοις μόνοις ἡ ἀμφιβολία δύναται γίνεσθαι τῆς οὐσίας ἢ τῆς ποιότητος. Ποιότητα δὲ λέγω πάντα κοινῶς τὰ τῇ οὐσίᾳ συμβεβηκότα, κἂν ποσότητος ὦσι κἂν ὁτιοῦν ἕτερον. Τὴν γὰρ οὐσίαν τινὸς τοῦ ὑποκειμένου ζητοῦντες λέγομεν· τίς κινεῖται; τίς βαδίζει; τίς διαλέγεται; ἑνὸς ἐκ πολλῶν ὄντος τοῦ κινουμένου ἢ ἕτερόν τι ποιοῦντος. Ἑνὸς δὲ ἐκ δυοῖν ὡρισμένου ὄντος τοῦ κινουμένου ἢ τοῦ βαδίζοντος λέγομεν· πότερος κινεῖται;

πότερος βαδίζει; τὴν οὐσίαν ἑνὸς τῶν δύο ζητοῦντες καὶ οὐχί τι τῶν περὶ αὐτὸν συμβεβηκότων, ὅταν φανερὰ μὲν ᾖ ἡ ἐνέργεια, τουτέστιν ἡ κίνησις, ἢ τὸ βάδισμα, ἢ ἡ διάλεξις, τὸ δὲ ἐνεργοῦν πρόσωπον ἄδηλον καὶ διὰ τοῦτο αἱ ἀποκρίσεις ὀνομαστὶ γίγνονται, ἢ διὰ προσηγορικῶν ἢ κυρίων, ὅτι καὶ τὰ κύρια τὴν καθόλου οὐσίαν σημαίνουσιν· ἀποκρινόμεθα γάρ, ἢ ὅτι ἄνθρωπος βαδίζει, ἢ ὅτι ἵππος, ἢ ὅτι Τρύφων, ἐν ᾧ καὶ ὁ ἄνθρωπος συννοεῖται· ἢ καὶ διὰ μέρους τοῦ λόγου ἀποκρινόμεθα, ὅπερ ἀντὶ ὀνόματος λαμβάνεται κυρίου, τουτέστι δι’ ἀντωνυμίας, ὡς ὅταν εἴπωμεν· ἐγώ· ἀλλ’ ἐπείπερ ἄδηλα ἦν τὰ συμβεβηκότα τοῖς προτεθεῖσιν ὀνόμασιν, ὅτι αὐτὸ καθ’ αὑτὸ τὸ τίς ἐρωτηματικὸν ὄνομα καὶ τὸ πότερος μόνην τὴν οὐσίαν ἐζήτει, ᾗ συμβέβηκε, καὶ ποῖον καὶ πόσον ἐπὶ λογισμὸν ἀνέβαινε καὶ περὶ τούτου ἐρώτησις γίνεται· ὡς ὅταν τὴν μὲν ποιότητα ζητοῦντες λέγωμεν ποῖος; τῆς δὲ ποσότητος τὴν μὲν συνεχῆ πηλίκος, τὴν δὲ διωρισμένην, πόσος, τὴν δὲ τακτικὴν ἀπαρίθμησιν, πόστος, τουτέστι πρῶτος ἢ δεύτερος ἢ τρίτος καὶ ἐφεξῆς· τὸ δὲ τῶν ἡμερῶν μέτρον ποσταῖος, οἷον ποσταῖός τις ἦλθεν Ἀθήνηθεν εἰς Ῥώμην; τουτέστι διὰ πόσων ἡμερῶν; καὶ ποσταία σήμερόν ἐστιν ἡ σελήνη; τουτέστι πόσων ἡμερῶν; τὸ δὲ τῶν ἐτῶν μέτρον ποσαετής· τὸ δὲ τοῦ μεγέθους πλῆθος, οἷον ποσάκις ἐν ἑαυτῷ ὁ μείζων τὸ ἔλαττον ἔχει, ποσαπλάσιος.

21 τὸ δὲ ἐκ τίνος ἔθνους ἢ πατρίδος ὁ ἄνθρωπός ἐστι, ποδαπός; Ταῦτα οὖν ἐρωτήματά εἰσιν, ἀποκρινόμεθα δὲ τούτων ζητουμένων ἐν μὲν τῷ τίς καὶ τῷ πότερος, ὥσπερ εἴρηται, τὴν οὐσίαν, ἐν δὲ τοῖς ἄλλοις τὰ συμβεβηκότα· οἷον ἐν μὲν τῷ ποῖος; λευκὸς ἢ θερμὸς καὶ τὰ τοιαῦτα, ἐν δὲ τῷ πηλίκος; μέγας ἢ μικρός, ἐν δὲ τῷ πόσος; πολὺς ἢ ὀλίγος, ἐν δὲ τῷ πόστος; πρῶτος ἢ δεύτερος ἢ τρίτος καὶ ἐφεξῆς, ἐν δὲ τῷ ποσταῖος; αὐθημερόν, δευτεραῖος, τριταῖος καὶ ἐφεξῆς, ἀορίστως δέ, πολλαπλάσιος, ἐν δὲ τῷ ποδαπός; ἡμεδαπός, ἀλλοδαπός, Ἕλλην ἢ βάρβαρος, Ἀθηναῖος ἢ Θηβαῖος ἢ Ῥωμαῖος.

22 Οὐκοῦν εἰ προεθέμεθα· τίς ἐστι, περὶ οὗ γίνεται ἡ ἐρώτησις, τουτέστι τὴν μὲν οὐσίαν αὐτοῦ γιγνώσκομεν, τὰ δὲ περὶ αὐτὸν συμβεβηκότα ζητοῦμεν, τοῖς προειρημένοις χρηστέον τηνικαῦτα ἐρωτήμασι· τίς ἀναγιγνώσκει ἢ πότερος τῶν δύο τῶν ἐν τῇ οἰκίᾳ καθημένων; ἀποκρινόμεθα γάρ, εἰ τύχοι, ὁ Τρύφων· ποῖος; ὅτι σοφός, πηλίκος; ὅτι μέγας, ποδαπός; ὅτι Βυζάντιος. Ὁμοίως καὶ πάσας τὰς ἀποκρίσεις ἐποίσομεν τὰς πεφυκυίας συμβεβηκέναι τῷ περὶ οὗ αἱ ἐρωτήσεις γίνονται διὰ τῶν ἐπιθέτων, ἃ πρὸς ἐκεῖνο τὸ πρόσωπον ἀναφέρονται. Ἔστι γε μὴν ὅτε καὶ τῆς οὐσίας καὶ τῆς ποιότητος πρὸ ὀφθαλμῶν κειμένης καὶ τῆς ποσότητος καὶ τῶν ἄλλων συμβεβηκότων ἐπάγεται ἐρώτησις ἀνήκουσα τῇ κυριότητι τοῦ ὀνόματος· οἷον εἰ λέγοιμι· τίς ἐστιν ἐκεῖνος ὁ Βυζάντιος, ὁ μέγας, ὁ περικαλλής; δύναμαι γὰρ βλέπειν τινὰ καὶ τὴν οὐσίαν αὐτοῦ γιγνώσκειν καὶ τὸ ἔθνος καὶ τὴν ποιότητα καὶ τὴν ποσότητα, μόνον δὲ τὸ κύριον ὄνομα ζητεῖν, ὡς ἔδειξεν Ὅμηρος ἐν τῇ μονομαχίᾳ Ἀλεξάνδρου καὶ Μενελάου. Ἐπιῤῥημάτων τοπικαὶ σχέσεις. Τά γε μὴν ἐπιῤῥήματα ἀναφέρονται πρὸς τὰς ἀγνοουμένας ἐνεργείας ἢ τὰς τούτων ποιότητας. Εἰ γὰρ ἐρωτῶμεν· πῶς ἀναγιγνώσκει; ἀποδιδόντες αὐτῷ τὸ ἐπίῤῥημα, ὅπερ ἐπιθέτου τόπον ἐπέχει ἐπὶ τῷ ῥήματι ἀποκρινόμεθα· καλῶς, ῥητορικῶς, σοφῶς· εἰ δὲ τὴν ποιότητα οὐ ζητοῦμεν, ἀλλὰ τὸν τόπον, ἐν ᾧ τι γίγνεται, τριχῶς ποιούμεθα τὴν ἐρώτησιν· ποῦ ἢ πόθι καὶ πῇ ἢ πόσε καὶ πόθεν; ὧν τὸ μὲν ποῦ ἢ πόθι μονὴν καὶ στάσιν ἐν τόπῳ δηλοῖ, οἷον· ποῦ ἐστιν ὁ δεῖνα; ἢ ποῦ κεῖται; ἢ ποῦ κάθηται; ἀποκρινόμεθα γὰρ ὁτὲ μὲν ἐπιῤῥηματικῶς οἷον ἐνταῦθα, ἐκεῖ, οἴκοι, Ἰσθμοῖ, πολλαχόθι, οὐδαμόθι, ὁτὲ δὲ κατὰ τὴν δοτικὴν μόνην, οἷον Ἀθήνῃσι, Θήβῃσι καὶ ὡς ἐπὶ τὸ πλεῖστον κατὰ τὴν δοτικὴν σὺν τῇ ἐν προθέσει, οἷον ἐν τῇ πόλει, ἐν τῷ ἀγρῷ, ἐν τῇ Ἑλλάδι· τὸ δὲ πῇ ἢ πόσε καὶ πόθεν καὶ ἀμφότερα κίνησιν σημαίνουσιν· ἀλλὰ τὸ μὲν τὴν εἰς τόπον κίνησιν σημαίνει, τὸ δὲ τὴν ἐκ τόπου· οἷον ἐρωτώμενοι πῇ ἢ πόσε βαδίζει ὁ δεῖνα; ἔστι μεν ὅτε καὶ ἐπιῤῥηματικῶς ἀποκρινόμεθα οἷον δεῦρο, ἐκεῖσε, οἴκαδε, Ἀθήναζε, Θήβαζε, πολλαχῇ πολλαχόσε, πάντῃ, πάντοσε, πανταχῇ,

οὐδαμῇ, οὐδαμόσε· ἔστι δὲ ὅτε κατὰ τὴν αἰτιατικὴν σὺν τῇ εἰς προθέσει ἀποκρινόμεθα, οἷον εἰς τὴν πόλιν, εἰς τὸν ἀγρόν· εἰ δὲ ἡ κίνησις γίνεται πρὸς ἔμψυχον πρόσωπον, σὺν τῇ πρός προθέσει, οἷον πρὸς τὸν βασιλέα, πρὸς τὶν διδάσκαλον.

23 Ἐρωτώμενοι δέ· πόθεν ἥκει ὁ ἄνθρωπος, κἀνταῦθα ἐνίοτε μὲν δὴ δι' ἐπιῤῥημάτων ἀποκρινόμεθα, οἷον ἐντεῦθεν, ἐνθένδε, ἐκεῖθεν, οἴκοθεν, Ἀθήνηθεν, Ἰσθμόθεν, γῆθεν, οὐρανόθεν, πολλαχόθεν, πάντοθεν, πανταχόθεν, οὐδαμόθεν. Ἐνίοτε δὲ καὶ μετὰ γενικῆς σὺν τῇ ἀπό προθέσει, οἷον ἀπὸ Ῥώμης, ἀπὸ Βυζαντίου, ἔστι δ' ὅτε καὶ σὺν τῇ ἐκ προθέσει, οἷον ἐκ Ῥώμης, ἐκ Βυζαντίου, ἐξ Ἀθηνῶν. Σημειωτέον δὲ ἐνταῦθα, ὅτι κατὰ τινὰ φυσικὴν ἀκολουθίαν αἱ τρεῖς αὗται ἐρωτήσεις τὸ πόθεν, τὸ ποῦ, τὸ πῇ τὰς τρεῖς πλαγίας ἐκληρώσαντο πτώσεις, τὸ μὲν πόθεν τὴν γενικήν, τὸ δὲ ποῦ τὴν δοτικήν, τὸ δὲ πῇ τὴν αἰτιατικήν· καὶ ὥσπερ ἐν ταῖς πλαγίαις πτώσεσι προηγεῖται μὲν ἡ γενική, ἕπεται δὲ ἡ δοτικὴ καὶ τρίτη τούτων ἐστὶν ἡ αἰτιατική· οὕτω κἀνταῦθα προηγεῖται μὲν τὸ πόθεν, ἕπεται δὲ τὸ ποῦ, καὶ τελευταῖόν ἐστι τὸ πῇ ἀκολούθως τοῖς τρισὶ μέρεσι τοῦ χρόνου.

24 Τὸ μὲν γὰρ πόθεν τοῦ παρεληλυθότος ἐστίν· ἐρωτῶντες γάρ, πόθεν ἦλθεν ὁ ἄνθρωπος, ἢ πόθεν ἔρχεται; ἢ πόθεν ἐλεύσεται; δηλοῦμεν, καταλελοιπέναι αὐτὸν τόπον, ὅθεν ἐλήλυθεν, ἢ ἔρχεται ἢ ἐλεύσεται· [ἢ πόθεν ἐλεύσεται, δηλοῦμεν ὡς κατὰ τὸ παρεληλυθὸς ἐν ἐκείνῳ τῷ τόπῳ καταλελοιπέναι αὐτῷ τόπον, ὅθεν ἦλθεν, ἢ ἔρχεται, ἢ μέλλει ἐλθεῖν.] τὸ δὲ ποῦ τοῦ ἐνεστῶτός ἐστιν· ἐρωτῶντες γάρ, ποῦ ἐστιν ὁ δεῖνα; ἢ ποῦ ἦν; ἢ ποῦ ἔσται; τὴν ὡς κατὰ τὸ ἐνεστὼς ἐν ἐκείνῳ τῷ τόπῳ μονὴν αὐτοῦ δηλοῦμεν ἐν ᾧ ἐστὶν ἢ ἦν ἢ ἔσται. Τὸ δὲ πῇ καὶ πόσε τοῦ μέλλοντός ἐστιν. Ἐρωτῶντες γάρ, πῇ βαδίσει ὁ ἄνθρωπος; ἢ ἐβάδισεν, ἢ βαδίζει; τὴν ἐν τῷ μέλλοντι χρόνῳ εἰς ἐκεῖνον τὸν τόπον ἄφιξιν τούτου σημαίνομεν· ἢ καὶ οὕτω· δεῖ γάρ τινα, ὅθεν δήποτε πρότερον ἐλθεῖν πρὸς ἡμᾶς, εἶτα μεῖναι ἐν ἡμῖν, εἶα ἀφ' ἡμῶν ἀλλαχόσε ἀπελθεῖν, εἴπερ ἓν καὶ τὸ αὐτὸ πρόσωπον μέλλει τὰ τρία ταῦτα καθάπαξ πρὸς ἡμᾶς ἐνεργήσειν, ἄλλως δὲ οὐκ ἂν γένοιτο. Ἓξ γὰρ τούτων γινομένων, τοῦ ἐλθεῖν πρὸς ἡμᾶς τινα καὶ μεῖναι καὶ ἀπελθεῖν, τοῦ ἐλθεῖν καὶ ἀπελθεῖν καὶ μεῖναι, τοῦ μεῖναι καὶ ἐλθεῖν καὶ ἀπελθεῖν, τοῦ μεῖναι καὶ ἀπελθεῖν καὶ ἐλθεῖν, τοῦ ἀπελθεῖν καὶ ἐλθεῖν καὶ μεῖναι, τοῦ ἀπελθεῖν καὶ μεῖναι καὶ ἐλθεῖν, τὸ πρῶτον μόνον κατὰ φύσιν συνέστηκεν, ὥσπερ εἴρηται, τῶν δὲ ἄλλων τὸ μὲν δεύτερον καὶ τρίτον καὶ ἕκτον ἀνάστατα, τὸ δὲ τέταρτον καὶ τὸ πέμπτον δοκεῖ μὲν συνίστασθαι, οὐ συνίστανται δὲ διὰ τὸ καὶ ἐν ἀμφοτέροις τὸ ἐλθεῖν μὴ δύνασθαι εἶναι ἐλθεῖν, ἀλλ' ἐπανελθεῖν, Ἕτερα δὲ ἀλλήλων ταῦτα.

25 Ἰστέον δὲ καὶ τοῦτο, ὡς ἐνίοτε λέγοντες ἐν τῇ στοᾷ περιπατεῖν τὸν Σωκράτην, σολοικίζειν δοκοῦμεν, εἴγε τὸ μὲν ἐν τῇ στοᾷ στάσιν δηλοῖ, τὸ δὲ περιπατεῖν κίνησιν. Ἀλλ' οὐκ ἔστι τοῦτο σολοικισμός, ὀρθῶς δὲ μᾶλλον λέγεται. Τὸ γὰρ περιπατεῖν ἐνταῦθα οὐ τὴν ἀπὸ τόπου εἰς τόπον δηλοῦν κίνησιν βούλεται, ἀλλὰ τὴν ἐν τῷ αὐτῷ τόπῳ ἀναστροφήν, ἥτις ταὐτόν ἐστι τῇ μονῇ καὶ στάσει. Καὶ πάλιν, ὅταν λέγωμεν· ὁ δεῖνα πόῤῥωθεν ἔστηκε, σολοίκως δοκεῖ λέγεσθαι, εἴγε τὸ μὲν πόῤῥωθεν τὴν ἀπὸ τόπου κίνησιν δηλοῖ, τὸ δὲ ἔστηκε στάσιν. Ἀλλ' εἰ μὲν ἁπλῶς οὕτω καὶ ἀσχέτως λέγεται τοῦτο, σολοικισμὸν ὁμολογουμένως ποιεῖ· εἰ δὲ ὁ ἱστάμενος πόῤῥωθεν σχέσιν τινὰ ἔχει πρὸς τὸν τόπον ἐκεῖνον, οὗ πόῤῥωθεν ἔστηκεν, ἤγουν ἢ βάλλει τι βέλος πρὸς ἐκεῖνον ἢ βλέπει, ἅτινα ἐμφαίνουσι κίνησίν τινα, καλῶς λέγεται. Γιγνώσκομεν οὖν, ὅτι καὶ τὸ πόθεν ἔχει τὴν εἰς τόπον κίνησιν καὶ τὸ πῇ τὴν ἐκ τόπου. Πᾶσα γὰρ κίνησις ποθὲν πῇ γίνεται· ἀλλ' ἐπείπερ τῶν ἀγνοουμένων ἀεὶ γίνεται ἡ ἐρώτησις, ὅταν μὲν τὸν τόπον εἰδῶμεν, εἰς ὃν γίνεται ἡ κίνησις, τὸ δὲ ἐκ τίνος ἀγνοῶμεν τὸ πόθεν ἐρωτῶμεν· ὅταν δὲ τοὐναντίον, ἤγουν τὸν τόπον, ἀφ' οὗ γέγονεν ἡ κίνησις εἰδῶμεν, τὸ δὲ εἰς τίνα ἀγνοῶμεν, τὸ πῇ ἐρωτῶμεν. Καὶ ταῦτα μὲν ζητοῦμεν εἰς τόπον. Εἰ δὲ τὸν χρόνον ζητοῦμεν ἐν ᾧ γέγονέ τι, λέγομεν πότε; καὶ πρὸς τοῦτο ἀποκρινόμεθα· χθές, νεωστί, πρότριτα, πρώην, πέρυσι, τῆτες· καὶ τὰ ποιητικὰ οἷον· ἁρμοῖ,

ποταινί, ἀντὶ τοῦ προσφάτως, πάλαι, ἔκπαλαι, πρόπαλαι· καὶ δι’ ὀνομάτων· πρὸ δέκα ἡμερῶν, μετὰ δύο μῆνας· εἰ δὲ τὸν ἀριθμὸν ζητοῦμεν· ὁσάκις ἡ πρᾶξις ἐγένετο, φαμὲν ποσάκις; πρὸς ἅπερ ἀποκρινόμεθα· οὐδ’ ἅπαξ, ἅπαξ, δίς, τρίς, τετράκις καὶ τὰ ἐφεξῆς.

26 Καὶ ἔτι τοσάκις, τοσαυτάκις, ὀλιγάκις, πολλάκις, πλεονάκις, πλειστάκις, ἀπειράκις. Εἰ δέ, εἰς πόσα μέρη ἢ εἰς πόσα εἴδη διαιρεῖται ὁτιοῦν, ἢ πόσοις ὀνόμασιν ὁτιοῦν προσαγορεύεται, ἢ πόσαις μεθόδοις ἢ τέχναις ἢ τρόποις ποιεῖ τις, λέγομεν ποσαχῶς, οἷον· ποσαχῶς διαιρεῖται τὸ θνητόν; ἢ ποσαχῶς ὀνομάζεται ὁ ἄνθρωπος; ἢ ποσαχῶς ὁ ἁλιεὺς ἀγρεύει τοὺς ἰχθύας; ἀποκρινόμεθα δὴ καὶ πρὸς τοῦτο· μοναχῶς, διχῇ, τριχῇ ἢ δίχα ἢ διχῶς ἢ τριχῶς ἢ τριχθὰ ποιητικῶς, τετραχῇ ἢ τετραχῶς ἢ τετραχθὰ ποιητικῶς καὶ πενταχῇ ἢ πενταχῶς καὶ ἐφεξῆς. Καὶ ἔτι τοσαχῶς, τοσαυταχῶς, ὀλιγαχῶς, πολλαχῶς, πλεοναχῶς, πλεισταχῶς, ἀπειραχῶς καὶ τὰ τοιαῦτα. Εἰ δὲ τὴν αἰτίαν ζητοῦμεν, λέγομεν· διατί; ἱνατί; τί δήποτε; τίποτε· καὶ ποιητικῶς τίπτε; τοῦ χάριν; ἢ ὅτου ἢ τίνος ἢ τίνος ἕνεκα καὶ τὰ τοιαῦτα· πρὸς ὅπερ ἀποκρινόμεθα· διότι, διὰ τόδε, ἢ χάριν τοῦδε, ἢ ἕνεκα τοῦδε καὶ τὰ τοιαῦτα. Δοκοῦμεν δὲ καὶ τὴν οὐσίαν αὐτὴν τῆς πράξεως ζητοῦντες μιᾶς μὲν ἐκ πολλῶν ἀρίστων οὔσης, λέγειν· τί ποιεῖ ὁ δεῖνα; πρὸς ὅπερ ἀποκρινόμεθα, ὅτι οὐδέν, ἢ τρέχει ἢ διαλέγεται· μιᾶς ἐκ δυοῖν ὡρισμένων οὔσης φαμὲν πότερον τρέχει ἢ διαλέγεται; πρὸς ὅπερ ἀποκρινόμεθα θάτερον, ἢ ὅτι τρέχει ἢ ὅτι διαλέγεται, ἤτοι τὸ πρότερον ἢ τὸ ὕστερον· ὥσπερ καὶ τὴν ποσότητα ζητοῦντες λέγομεν πόσον ἔδραμε; πρὸς ὅπερ ἀποκρινόμεθα πολὺ ἢ ὀλίγον. Τίνος μὲν ἕνεκεν οὖν τὰ προτεθέντα μέρη δηλαδὴ τὰ ἐρωτηματικὰ ἢ ὀνομαστικὰ ἢ ἐπιῤῥηματικὰ γίνεται, ἀπεδείξαμεν, ὧν περὶ τῆς συντάξεως ἐν τοῖς ἑπομένοις διασαφήσομεν. Ἐπειδὴ τοίνυν τὰ λοιπὰ μέρη τοῦ λόγου πρὸς τοῦ ὀνόματος καὶ ῥήματος ἀναφέρεται σύνταξιν, ὧν καὶ τῆς ὀνομασίας μετειλήφασι, περὶ ἑκάστων δεῖ διελθεῖν, τουτέστι καὶ περὶ τοῦ ἐν χώρᾳ λαμβανομένου ἢ προσλαμβανομένου, λαμβανομένου μὲν ὡς ὅταν ἡ ἀντωνυμία ἐν χώρᾳ ὀνόματος λαμβάνηται, οἷον· ἐγὼ τόδε τι ἐποίησα, προσλαμβανομένου δὲ ὡς ὅταν ἡ αὐτὴ τῷ ὀνόματι προσλαμβάνηται, οἷον· ὁ Ὅμηρος ἔγραψε τὴν Ἰλιάδα· ὁ αὐτὸς δὲ καὶ τὴν Ὀδύσσειαν· ἔτι καὶ περὶ μετοχῆς τῆς ἐν τῇ χώρᾳ τῶν ῥημάτων λαμβανομένης.

27 Διατί δεκαεπτὰ ὄντων τῶν συμφώνων μόνον τῶν ἄλλων ἐτιμήθη τὸ Ρ; ἐκ πολλῶν οὖν σημείων κρεῖττον φαίνεται εἶναι τὸ Ρ τῶν ἄλλων συμφώνων καὶ τρόπον τινὰ φωνῆέν ἐστι μᾶλλον καὶ οὐ σύμφωνον. Ἥ τε γὰρ ἀπήχησις αὐτοῦ καὶ ἐκφώνησις λαμπροτέρα τῶν ἄλλων ἐστὶ καὶ τῇ τῶν φωνηέντων ἀριθμήσει παρέοικε. Καὶ πνεῦμα ἄνω ἐπιδέχεται τὴν δασεῖαν, ὅπερ ἐπ’ ἄλλου συμφώνου οὐχ εὕρηται. Καὶ ἐν τοῖς ῥήμασι κατὰ τοὺς παρῳχημένους χρόνους αὔξησιν δέχεται, ὡς καὶ τὰ φωνήεντα. Ῥέω καὶ ὁ παρατατικὸς ἔῤῥεον διὰ τῶν δύο ΡΡ. Τί οὖν σύμφωνόν ἐστιν ἢ φωνῆεν; τινὲς μὲν λέγουσιν, ὅτι ἔστι φωνῆεν· διότι τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ τὸ ψιλοῦσθαι. Εἰ οὖν ἄρα τὸ Ρ καὶ δασύνεται καὶ ψιλοῦται· καὶ δασύνεται μὲν οἷον ῥάπτω, ψιλοῦται δὲ ὡς ἐν τῷ ῤάρος καὶ ὡς ἐν τῷ ῤάριον, ὃ δηλοῖ τὸ παιδίον, φωνῆέν ἐστι. Ἄλλως τὰ διὰ Α μακροῦ ἐκφερόμενα ῥήματα κατὰ τὸν μέλλοντα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, ὅτι μή εἰσι δωρικά, κατὰ τὸν ἐνεστῶτα ἔχουσι πρὸ τοῦ Ω φωνῆεν· οἷον ἀνιῶ ἀνιάσω, κοπιῶ κοπιάσω. Ἐπεὶ οὖν τὸ φυράσω καὶ περάσω καὶ δράσω οὐ δωρικὰ ὄντα, ἀλλὰ κοινά, τῷ Α μακρῷ κέχρηνται, παραλήγονται δὲ τῷ Ρ· ἄρα φωνῆέν ἐστιν. Πρόσκειται ὅτι μή εἰσι δωρικὰ διὰ τὸ πεινάσω, διψάσω. Ταῦτα γὰρ μακρὸν ἔχουσι τὸ να καὶ ψα, ἀλλ’ ὅμως κατὰ τὸν ἐνεστῶτα οὐκ ἔχουσι πρὸ τοῦ Ω φωνῆεν, ἀλλὰ σύμφωνον τὸ Ψ καὶ τὸ Ν, οἷον πεινῶ καὶ διψῶ· οὐκ ἀντίκειται δὲ ἡμῖν, ἐπεὶ ἀπὸ τοῦ πεινήσω καὶ διψήσω γίνεται κατὰ τροπὴν τοῦ Η εἰς Α μακρόν.

28 Ἄλλως τε τὰ βραχυκατάληκτα τῶν εἰς Α ληγόντων θηλυκῶν ὀνομάτων τότε φυλάττουσι τὸ Α καὶ ἐπὶ γενικῆς, ὅτε φωνήεντι παραλήγεται· ὅτε δὲ πρὸ τοῦ Α ἄλλο σύμφωνον ἔχει πλὴν τοῦ Ρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ Α τῆς εὐθείας τρέπει εἰς Η ἐπὶ γενικῆς· οἷον δίψα, δίψης· εἰ δὲ τὸ Ρ ἔχει, φυλάσσεται τὸ Α τῆς εὐθείας καὶ ἐπὶ γενικῆς· οἷον ἡμέρα ἡμέρας· ἄρα τὸ Ρ φωνῆέν ἐστι. Ἔτι καὶ τὰ ἀπὸ ἑνὸς ἁπλοῦ συμφώνου ἀρχόμενα ῥήματα ἀναδιπλασιάζονται κατὰ τὸν παρακείμενον· οἷον λέγω, λέξω, λέλεχα· τὰ δὲ ἀπὸ φωνήεντος ἀρχόμενα οὐκ ἀναδιπλασιάζονται· οἷον ὑβρίζω, ὑβρίσω, ὕβρικα· εἰ τὰ ἀπὸ τοῦ Ρ ἀρχόμενα οὐκ ἀναδιπλάζονται, οἷον ῥάπτω, ἔῤῥαφα· ἄρα φωνῆέν ἐστι τὸ Ρ. Ἔστι δὲ εἰπεῖν, ὅτι τὸ Ρ σύμφωνόν ἐστι καὶ οὐ φωνῆεν· πῶς οὖν τὸ Ρ φωνῆέν ἐστιν, ὅπου τὸ ῥήτωρ, Νέστωρ, καὶ ἄλλα ὁμοίως εἰς τὸ Ρ καταλήγουσιν· ἄλλως τε οὐδέποτε φωνῆεν προτάσσεται καὶ ὑποτάσσεται τοῦ αὐτοῦ φωνήεντος. Πῶς οὖν τὸ Η προτάσσεται τοῦ Ρ, ὡς ἐν τῷ Ἄρης καὶ ὑποτάσσεται ὡς ἐν τῷ ἀήρ. Ἔτι τὰ εἰς Ω λήγοντα ῥήματα οὐδέποτε διὰ δύο φωνηέντων ἐκφέρονται κατὰ τὴν λήγουσαν· εἰ δὲ τὸ Ρ εὑρίσκεται κατὰ τὴν τελευταίαν συλλαβὴν τοῦ φθείρω, ἄρα σύμφωνόν ἐστιν. Ἔτι τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ οὐ παραλαμβάνονται· εἰ δὲ τὸ Ρ εὑρίσκεται μετὰ δύο φωνηέντων παραλαμβανόμενον, ὡς ἐπὶ τοῦ ῥοῦς, ἄρα σύμφωνόν ἐστιν. Ἔτι τὰ φωνήεντα μὲν αὐτὰ καθ’ ἑαυτὰ φωνὴν ἀποτελοῦσι, τὰ δὲ σύμφωνα οὔ· εἰ οὖν τὸ Ρ καθ’ ἑαυτὸ φωνὴν οὐκ ἀποτελεῖ, ἄρα σύμφωνόν ἐστιν.

29 Ἔτι πᾶς παρακείμενος ἀπαθής—λέγω δὲ ἀπαθὴς διὰ τὸ ἑώρακα— πᾶς παρακείμενος ἀπαθὴς ἀρχόμενον ἀπὸ τοῦ Ε ἔχει τὸν ἐνεστῶτα πάντως ἀπὸ συμφώνου ἀρχόμενον, ὡς τὸ φθείρω ἔφθαρκα· εἰ οὖν ἐῤῥύπωκα καὶ ἔῤῥαφα ἀπὸ τοῦ Ε ἄρχονται· ἄρα τὸ ῥυπῶ καὶ τὸ ῥάπτω οἱ ἐνεστῶτες ἀπὸ συμφώνου ἄρχονται· πρόδηλον, ὅτι τὸ Ρ σύμφωνόν ἐστιν. Περὶ τόνων. Πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ. Διατί δὲ κατὰ τὸ ἀνάπαλιν οὐ γίνεται τόνος ἐκ βαρείας καὶ ὀξείας; διότι τρεῖς εἰσιν οἱ τόνοι καὶ τρεῖς οἱ τρόποι τῶν τόνων. Ἐκ τῆς ὀξείας μὲν καὶ βαρείας, τῶν δύο ἁπλῶν τόνων γέγονεν εἷς σύνθετος, ἡ περισπωμένη. Ὥσπερ δὲ τέταρτος τόπος τῶν τόνων οὐκ ἔστιν, οὕτως οὐδὲ τέταρτός ἐστι τόνος. Διατί ἀπὸ δύο πνευμάτων οὐκ ἐγένετο ἕτερον πνεῦμα; Καὶ οὖν ὥσπερ ἀπὸ δύο τόνων ἐγένετο ἕτερος τόνος, διατί καὶ ἀπὸ δύο πνευμάτων οὐκ ἐγένετο ἕτερον πνεῦμα; Ἐπειδὴ ἡ δασεῖα ἐκ τοῦ Θώρακος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων, ὅθεν λέγεται καὶ τὰ ἐπιθέμενα τοῖς ἄκροις τῶν χειρῶν καὶ τῶν ποδῶν· καὶ διὰ τοῦτο οὐ δύνανται ἀλλήλοις συναφθῆναι καὶ ποιῆσαι ἕτερον πνεῦμα· θώρακος γὰρ καὶ χειλέων πολὺ τὸ μέσον. Καὶ εἰ ἀπὸ δύο τόνων ἐγένετο ἕτερος τόνος, διατί καὶ ἀπὸ δύο χρόνων οὐκ ἐγένετο ἕτερος χρόνος. Ἐπειδὴ τὰ στοιχεῖα ἢ μονόχρονά εἰσιν ἢ δίχρονα, οὐδέποτε δὲ τρίχρονα. Εἰ οὖν εἰσῆλθεν ἡ μακρὰ καὶ ἡ βραχεῖα καὶ ἀπετέλεσαν ἕτερον χρόνον, ἔμελλεν εἶναι οὗτος τρίτος χρόνος καὶ οὐκ εἶχεν ἐπί τι λυσιτελεῖν, ὡς δὴ καὶ φθάσαντες εἴπομεν. Τὰ στοιχεῖα οὐχ ὑπερβαίνουσι τοὺς δύο χρόνους. Ἡ ὀξεῖα ἢ ἐν τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους, ἢ πρὸ δύο.

30 Καὶ ἡ περισπωμένη ἢ ἐν τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους. Οὐδέποτε ἐπάνω βραχείας τίθεται ἢ ἐπάνω θέσει μακρᾶς, ἀλλ’ ἐπὶ μόνων τῶν φύσει μακρῶν. Πᾶσα λέξις ὀξυνομένη ἐν τῇ συνθέσει τρέπει τὴν ὀξεῖαν εἰς βαρεῖαν, χωρὶς τοῦ τίς καὶ χωρὶς εἰ μὴ ἐπιφέροιτο στιγμή, καὶ χωρὶς εἰ μὴ εἴη ἐγκλινομένη. Πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ, οἷον Ξενοφάων Ξενοφῶν, ἐκ δὲ βαρείας καὶ ὀξείας πάλιν ὀξεῖαν, οἷον ὁ ἐνεσταώς ὁ ἐνεστώς, χωρὶς εἰ μὴ κωλύσῃ ὁ κανὼν ὡς ἐπὶ τοῦ ἀδελφιδεός ἀδελφιδοῦς. Τοῦτο γὰρ περισπᾶται. Φησὶ γὰρ ὁ κανών· τὰ εἰς ους ἁπλᾶ περισπῶνται, χρυσοῦς, χαλκοῦς, ἀργυροῦς· τὰ δὲ σύνθετα βαρύνονται· οἷον εὔνους, εὔχρους. Διατί ἡ ῥητορικὴ εἰς εἴδη διαιρεῖται, ἡ δὲ γραμματικὴ εἰς μέρη; Ἐπειδὴ ἡ ῥητορικὴ περὶ τὰ πολιτικὰ πράγματα καταγίνεται. Ταῦτα δὲ αὐθυπόστατά εἰσι καὶ διὰ τοῦτο εἰς εἴδη διαιρεῖται, ὡς τῶν εἰδῶν ὁλόκληρόν τι ἀποτελούντων. Καὶ ὁ εἰδὼς ἕν τι τούτων τέλειός ἐστι ῥήτωρ· ἡ δὲ γραμματικὴ περὶ λέξεις καὶ περὶ τὰ μέρη τοῦ λόγου καταγίνεται. Ταῦτα δὲ συμβεβηκότα εἰσίν, ἐπικείμενα κατ’ οὐσιῶν· τὰ δὲ συμβεβηκότα οὐκ εἰσὶν αὐθυπόστατα· τούτου χάριν εἰς μέρη διαιρεῖται· τὸ γὰρ μέρος οὐχ ὁλόκληρον. Καὶ ὁ εἰδὼς ἓν τούτων ἢ δύο ἢ καὶ τρία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ τέσσαρα καὶ μὴ πάντα ἐν ἀκριβείᾳ, οὐκ ἔστι τέλειος γραμματικός. Τίς ἡ αἰτία, ὅτι καὶ ἐκάλεσεν ὁ διδάσκαλος τὴν γραμματικὴν ἐμπειρίαν; Τινὲς μὲν λέγουσιν, ὅτι καταχρηστικῶς ἐκάλεσεν ἐμπειρίαν ἀντὶ τοῦ γνῶσιν· ἄλλοι δέ φασιν, ὅτι, ἐπειδὴ ὁ σκοπὸς αὐτοῦ πρὸς εἰσαγομένους ἦν, δεῖ δὲ τὰς εἰσαγωγὰς ἀπέχεσθαι τῶν δυσχερῶν, εἰδὼς ὅτι καὶ ἡ ἐμπειρία πολλαχῶς λέγεται παρὰ τοῖς ἀρχαίοις, ἔστι γὰρ ἡ ἄλογος τριβή, ἔστι καὶ ἡ λογικὴ γνῶσις, ἔστι καὶ ἡ ἀκριβὴς μάθησις, ἁπλούστερον τὸν λόγον ἐποιήσατο λέγων, συμβαίνειν ἀπὸ ἐμπειρίας τὴν γνῶσιν, ὡς καὶ ἡ γραμματικὴ γνῶσίς ἐστι τινῶν, ὧν αὐτὸς παρατίθησιν.

31 Ἄλλοι δέ φασιν, ὅτι ἐπεὶ μικτή ἐστιν ἡ γραμματικὴ λογική τε καὶ πρακτικὴ διὰ τοῦ εἰπεῖν ἐμπειρία τὸ πρακτικὸν αὐτῆς περιέλαβε καὶ ὡρίσατο· ἀπὸ δὲ μέρους τὸ ὅλον διαλαμβάνει. Καὶ διατί οὐκ ἀπὸ κρείττονος ὡρίσατο ἤγουν ἀπὸ τοῦ λογικοῦ; διότι, εἰ ὡρίσατο ἀπὸ τοῦ κρείττονος τὴν γραμματικὴν ἐλάνθανεν ἂν τὸ χεῖρον ὡς μὴ ὄν, ἤγουν τὸ πρακτικόν· διὰ τοῦτο ἀπὸ τοῦ χείρονος ὡρίσατο, ἤγουν τοῦ πρακτικοῦ· ὥσπερ καὶ ἡμίονος ἐκ τοῦ χείρονος ὠνομάσθη, ἤγουν τοῦ ὄνου, καὶ οὐκ ἀπὸ τοῦ κρείττονος, ἤγουν τοῦ ἵππου, ἵνα μὴ λάθῃ τὸ χεῖρον ὡς μὴ ὄν. Λέγουσι δέ τινες, ὅτι ἐμπειρία ἐπὶ ἀμφοτέρων τῶν σημαινομένων λαμβάνεται καὶ ἐπὶ τοῦ λογικοῦ καὶ ἐπὶ τοῦ πρακτικοῦ· λέγουσι γάρ, ὅτι ἐμπειρία ἐστὶν ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἀγνοοῦντες, ὅτι τὸ προκατάρχον αἴτιον τῆς λέξεως τὸ πεῖρα οὐδὲν ἄλλο δηλοῖ, ἀλλ’ ἢ τὴν ἅπαξ δοκιμασίαν ἀλόγου τέχνης. Παρὰ γὰρ τὸ πεῖρα γέγονεν ἔμπειρος καὶ ἐμπειρία· ἄλλοι δὲ λέγουσιν, ὅτι ἐμπειρία εἶπεν οἱονεὶ πολυπειρία· ἡ γὰρ ἐμπειρία δηλοῖ καὶ τὴν πολυπειρίαν, ὡς παρ’ Εὐριπίδῃ· ἀλλ’ ἡ ἐμπειρία ἔχει τι λέξαι τῶν νέων σοφώτερον, ἤγουν ἡ πολυπειρία. Ἰστέον δέ, ὅτι τέσσαρά εἰσι τὰ τῆς γραμματικῆς μέρη· ἀλλὰ τμηθέντος τοῦ τρίτου μέρους εἰς τρία, ἤγουν εἰς τρίτον τέταρτον καὶ πέμπτον, γεγόνασιν ἕξ. Καλεῖ δὲ τὸ τρίτον μέρος τῆς γραμματικῆς διόρθωσιν· περιέχει γὰρ τὴν τῶν γλωσσῶν καὶ ἱστοριῶν πρόχειρον ἀπόδοσιν καὶ τὴν τῆς ἐτυμολογίας εὕρεσιν καὶ τὸν τῆς ἀναλογίας ἐκλογισμόν· ἀλλ’ ἐτμήθη εἰς τρία, ὅθεν καὶ τέσσαρα ὄντα γεγόνασιν ἕξ· ἄλλοι δὲ λέγουσιν· ἐπειδὴ πρὸς εἰσαγομένους διαλέγεται, ἠθέλησεν ἀφελέστερον χρησάμενος τῇ διδασκαλίᾳ παραδοῦναι ταῦτα αὐτοῖς μέρη, οἷστισι κέχρηνται εὐθέως οἱ ἀναγιγνώσκοντες.

32 Εἶτα τὰ κατὰ τῶν γλωσσῶν καὶ ἱστοριῶν σαφηνίζει, εἶτα ἐτυμολογεῖ τὰς λέξεις καὶ μετὰ ταῦτα τὸν κανόνα τῆς ἀναγνώσεως παραδίδωσιν αὐτοῖς καὶ τελευταῖον κρίνειν διδάσκει. Πάλαι δὲ πρῶτον ὁ διορθωτὴς διωρθοῦτο τὸ βιβλίον, ἵνα μὴ ἐπταισμένον ἀναγνοὺς ὁ νέος εἰς κακὴν ἕξιν ἐμπέσῃ· δεύτερον δὲ λαβὼν ὁ νέος τὸ βιβλίον ἀπῄει πρὸς τὸν ὀφείλοντα αὐτὸν διδάσκειν κατὰ τὴν διόρθωσιν τοῦ διορθωτοῦ· τρίτον δὲ ἀπῄει πρὸς τὸν κριτικόν· οὗτος δὲ τὴν τῶν ποιητῶν καλῶς ἢ φαύλως λεχθεῖσαν ἔννοιαν παρεδίδου. Τί διαφέρει κρίσις συγκρίσεως; καὶ πότερον αὐτῶν ἐπαναβέβηκε; λεκτέον δέ, ὅτι πρῶτον ἡ κρίσις. Καὶ ὁ μὲν συγκρίνων καὶ κρίνει, ὁ δὲ κρίνων οὐ πάντως καὶ συγκρίνει. Ζητητέον δέ, ὅτι τὸ μακρὸν πρὸς τί ἐστι βραχὺ καὶ τὸ βραχὺ πρὸς τί ἐστι μακρόν; Οὐδὲν γάρ ἐστιν ὅπερ καθ’ ἑαυτό ἐστι μακρὸν ἢ βραχύ, ἀλλὰ πρὸς ἕτερον. Καὶ λέγομεν ἐπειδὴ πολλάκις φαίνονται τὰ μακρὰ ἀναλυόμενα εἰς δύο βραχέα, ὡς τὸ σῶς σόος καὶ τὸ δῆλον δέελον, διὰ τοῦτο τὰ μὲν μακρὰ τὰ δὲ βραχέα οὐ τῷ τύπῳ τοῦ σχήματος, ἀλλὰ τῷ χρόνῳ τῆς φωνῆς, ὡς ἐν διπλασίονι χρόνῳ παρὰ τοῖς παλαιοῖς τῶν βραχέων ἐκφωνούμενα. Καὶ τὰ δύο μὲν ἐν ἰσότητι δοκοῦσιν· εὑρέθη δὲ μακρότερον τὸ Η· ἔχουσαι λέξεις τινὲς τὸ Ω μέγα ἐπὶ τέλους εὑρίσκονται προπαροξύτονοι· τὸ δὲ Η οὐδέποτε. Καὶ ποῖόν ἐστι βραχύτερον, τὸ Ε ἢ τὸ Ο; λέγομεν δή, ὅτι Ἀπολλώνιος καὶ ὁ τούτου υἱὸς Ἡρωδιανὸς ἐζήτησε περὶ τούτων.

33 Καὶ ὁ μὲν Ἀπολλώνιός φησιν, ὅτι τὸ Ο ἐστὶ βραχύτερον. Καὶ γὰρ προσθέσει τοῦ Ι ἑκατέρῳ αὐτῶν ποιήσεις δύο διφθόγγους. Καὶ ἡ μὲν τὸ Ε ἔχουσά ἐστι μείζων, ἡ δὲ τὸ Ο ἔχουσα ἐλάσσων, ὡς εἶναι αὐτὴν καὶ βραχεῖαν ἐν τέλει λέξεων, οἷον Ὅμηρον· ὁ δὲ Ἡρωδιανὸς μᾶλλον λέγει τὸ Ε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βραχύτερον. Φησὶ γάρ, ὅτι οὐ δεῖ τῇ παραθέσει τοῦ Ι ἐξετάζειν τὴν δύναμιν, ἀλλὰ κατ᾽ ἰδίαν ἄνευ τινὸς παραθέσεως καὶ μάλιστα τῆς τοῦ Ι· τοῦτο γὰρ συγγένειαν ἔχει πρὸς τὸ Ε. Καὶ δείκνυσιν ἐκ τοῦ εἶναι τὴν ἐκφώνησιν τοῦ Ι σχεδὸν ὄνομα τοῦ Ε γράμματος· προστεθὲν οὖν τῷ συγγενεῖ μεγάλην δύναμιν αὐτοῦ ἐπετέλεσε, προστεθὲν δὲ τῷ Ο συγγένειαν οὐκ ἔχον μετὰ τοῦ Ο, τὸ Ι δηλαδὴ οὐκ ἐνεδείξατο ὅλην τὴν ἑαυτοῦ δύναμιν, ὡς ἐπὶ παραδείγματος ἀνθρωπείου· εἴ τις ἀδελφὸν αὐτοῦ θεάσαιτο χρείαν ἔχοντα βοηθείας, ὅλῃ ψυχῇ ὑπερασπίζει αὐτοῦ· εἰ δὲ ξένον θεάσαιτο χρείαν ἔχοντα βοηθείας, εἰ καὶ συμμαχεῖ, ἀλλ᾽ οὐχ ὅλῳ τῷ λογισμῷ. Οὕτω καὶ ἐπὶ τοῦ Ι νόησον, ὅτι οὐχ ὁμοίως ἐπεδείξατο τὴν ἑαυτοῦ δύναμιν ὡς ἐπὶ τοῦ Ε συγγενοῦς. Διὰ τῶν τοιούτων λόγων ὁ Ἡρωδιανὸς ἀποστρέψας τὴν πατρὸς δόξαν, ἐπιφέρει τοιαύτην δικαιολογίαν δεικνὺς τὸ Ε βραχύτερον· λέγει δὲ τοιοῦτον κανόνα· ὅτι πᾶσα κλητικὴ τὸν ἶσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα. Ἐπεὶ δὲ τῶν εἰς ος ληγόντων ἐν τῇ εὐθείᾳ, ὡς ὁ Νικόλαος, ὁ Γεώργιος εἰς Ε τρέπει ἐν τῇ κλητικῇ τὸ τῆς εὐθείας Ο, οἷον Νικόλαε, Γεώργιε, ἵνα ἔχῃ τὸν ἐλάττονα χρόνον ἡ κλητικὴ τῆς ἰδίας αὐτῆς εὐθείας. Καὶ γὰρ ἡ εὐθεῖα ἡνίκα οὐ μεταβάλλει τὸ φωνῆεν αὐτῆς, ἰσοχρονεῖ τῇ κλητικῇ πλὴν τοῦ Αἴας Αἶαν καὶ τῶν ὁμοίων· ἡνίκα δὲ μεταβάλλει, τὸν ἐλάττονα χρόνον ἔχει.

34 Ἐπεὶ οὖν εὑρίσκεται ἐπὶ τῶν εἰς ος ληγόντων ὀνομάτων τρεπόμενον τὸ τελικὸν τῆς εὐθείας Ο εἰς Ε· ἄρα βραχύτερόν ἐστι τὸ Ε τοῦ Ο. Ἀλλὰ καὶ ἡ αἰολὶς διάλεκτος διπλασιάζουσα τὰ σύμφωνα, τὰ προκείμενα φωνήεντα συστέλλει εἰς ἥσσονα, οἷον τὸ πενθήσεις πενθέσεις λέγει καὶ τοσοῦτον τοσσοῦτον, ὡς ἐκ μείζονος εἰς ἐλάσσονα τὴν συστολὴν ποιεῖται· ἀλλὰ καὶ αἱ γενικαὶ αἱ ἑνικαὶ μείζονα τέλη ἔχουσι τῶν πληθυντικῶν εὐθειῶν οἷον Ῥοδίου Ῥόδιοι, λιθίνης λίθιναι· εἴπερ οὖν ἐξελέξατο ἡ γενικὴ τὸ Ο ἡ δὲ πληθυντικὴ εὐθεῖα τὸ Ε ὡς ἐπὶ τοῦ Αἴαντος Αἴαντες· δῆλον ὡς ἔλαττον καὶ συνεσταλμένον ἐστὶ τὸ Ε τοῦ Ο. Ζητητέον δέ, ὅτι ὥσπερ ἡ συλλαβὴ ἡ ἐκ φωνηέντων δύο συνεστηκυῖα δίφθογγος καλεῖται καὶ τί μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ συλλαβὴ ἡ ἐκ φωνήεντος καὶ συμφώνου συνεστηκυῖα δίφθογγος καλεῖται. Καὶ λέγομεν, ὅτι διὰ τοῦτο οὐ καλεῖται δίφθογγος ἡ ἐκ συμφώνου καὶ φωνήεντος συνεστηκυῖα συλλαβή, ἐπειδὴ κυρίως δίφθογγοι λέγονται τὰ φωνήεντα παρὰ τὸ φθόγγον τινὰ καὶ φωνὴν ἀφιέναι. Τῶν δὲ διφθόγγων αἱ μέν εἰσι κατὰ ἐπικράτειαν, ὡς ἐπὶ τῆς ει διφθόγγου καὶ τῆς ῃ καὶ τῆς ῳ τῆς ἐχούσης τὸ Ι τὸ ἀνεκφώνητον· ἐπὶ τούτων γὰρ ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος μόνον ἐξακούεται. Διὸ καὶ τὸ Ε ψιλὸν παρὰ τοῖς παλαιοῖς ΕΙ κατὰ τὴν φωνὴν ἐξεφωνεῖτο καὶ τοῦτο εὑρήσεις ἐπὶ τῆς Ε Ὁμήρου ῥαψῳδίας κατὰ τὴν ἔμμετρον ἐπιγραφήν. Αἱ δέ εἰσι κατὰ κρᾶσιν ὡς ἐπὶ τῆς ΟΥ καὶ τῆς ΑΥ καὶ τῆς ΕΥ· ἐπὶ τοῦτο γὰρ συγκιρνῶσι τὰ δύο φωνήεντα καὶ ἀποτελοῦσι μίαν φωνήν, ἁρμόζουσαν τοῖς δυσὶ φωνήεσιν, οἷον οὗτος, αὐτός, εὐθυμεῖ. Αἱ δέ εἰσι κατὰ διέξοδον ὡς ἐπὶ τῆς Ε ΗΥ καὶ ΩΥ· ἐπὶ τούτων γὰρ χωρὶς ἀκούεται τοῦ ἑνὸς φωνήεντος ὁ φθόγγος καὶ χωρὶς τοῦ ἑτέρου· ἐπειδὴ δὲ ἡ ΑΙ δίφθογγος ἡ ἐκφωνοῦσα τὸ Ι καὶ ἡ ΟΙ οὔτε κατὰ ἐπικράτειάν εἰσιν οὔτε κατὰ κρᾶσιν οὔτε κατὰ διέξοδον εἰκότως, ὡς στερηθεῖσαι τοῦ ἰδιώματος τῶν διφθόγγων ἐστερήθησαν καὶ τοῦ χρόνου τοῦ παρεπομένου τοῖς διφθόγγοις· τούτου χάριν αὐταὶ μόνον ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ τῆς κοινῆς συλλαβῆς παραλαμβάνονται.

35 Καὶ γὰρ ἐν τέλει λέξεων εὑρισκόμεναι ἀντὶ βραχέων λογίζονται πλὴν τῶν εὐκτικῶν καὶ τῶν ἐπιῤῥημάτων καὶ τῶν ἀπὸ συναιρέσεως γινομένων καὶ τῶν μετὰ τοῦ Ν ἢ τοῦ Σ εὑρισκομένων οἷον Αἰάντων, ὁσίοιν καὶ τῶν ὁμοίων. Καὶ ἔκθλιψιν ὑπομένουσιν ὡς τὸ βραχὺ Α καὶ τὸ Ο μικρὸν καὶ τὸ βραχὺ Ι καὶ τὸ Ε ψιλόν, οἷον βούλομαι ἐγώ, βούλομ᾽ ἐγώ· οἱ ἅγιοι ἔλεγον· οἱ ἅγι᾽ ἔλεγον. Τῶν διφθόγγων· αἱ μέν εἰσι κύριαι· οἷον αι, αυ, ει, ευ, οι, ου· αἱ δὲ καταχρηστικαί· οἷον ᾳ, ῃ, ῳ, υι, ηυ, ωυ· Καὶ πάλιν τῶν διφθόγγων αἱ μέν εἰσι κατὰ κρᾶσιν οἷον ου, αυ, ευ. αἱ δὲ κατ᾽ ἐπικράτειαν· οἷον ει, ῃ, ῳ, ᾳ. αἱ δὲ κατὰ διέξοδον οἷον ηυ, ωυ, υι. Σύμφωνα δέ εἰσι δεκαεπτά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐκλήθησαν δὲ σύμφωνα, ὅτι αὐτὰ μὲν καθ’ αὑτὰ φωνὴν οὐκ ἔχουσι, μετὰ δὲ τῶν φωνηέντων φωνὴν ἀποτελοῦσιν· οὐ γίνεται δὲ ἐναλλαγή τις τῶν φωνηέντων τῆς φωνῆς ἐν τῷ συνεκφωνεῖσθαι αὐτὰ τοῖς συμφώνοις· ἀλλ’ οἵαν ἔχει τὴν φωνὴν τὸ Α μόνον ἐκφωνούμενον, τοιαύτην ἔχει καὶ μετὰ τοῦ Β ἢ Γ καὶ τῶν ἐφεξῆς.

36 Σύμφωνα δὲ εἴρηται παρὰ τὸ συμφωνεῖν· ἡ γὰρ σύν πρόθεσις τὸ ὁμοῦ σημαίνει· ἄλλο γάρ ἐστι πράττειν ἄλλο συμπράττειν. Ὁρίζεται δὲ ὁ Τεχνικὸς κεκλῆσθαι τὰ σύμφωνα οὕτως διὰ τὸ μὴ ἔχειν ἀφ’ ἑαυτῶν φωνὴν συμφωνεῖν δὲ τῇ τῶν φωνηέντων συμφωνίᾳ· ὥσπερ γὰρ λέγομεν σύνοικον τὸν σὺν ἑτέρῳ οἰκοῦντα, οὕτω λέγομεν καὶ σύμφωνον τὸ σὺν ἑτέροις φωνὴν ἀποτελοῦν. Ὁριστέον δὲ αὐτὰ οὕτως· σύμφωνά εἰσιν ἃ μετὰ φωνήεντος ἢ φωνηέντων φωνὴν ἐγγράμματον ἀποτελοῦσιν. Ἰστέον δὲ ὅτι ἔστιν ὅτε καὶ ψιλὰ ἀντὶ δασέων παραλαμβάνονται ὡς τὸ φιλῶ φεφίληκα πεφίληκα· ὅτε γὰρ γίνεται ἐπαλληλία τῶν δασέων, τότε τρέπεται τὸ ἓν δασὺ εἰς ψιλόν· τὰ δὲ δασέα ἀντὶ ψιλῶν παραλαμβάνονται ὡς τὸ κατὰ ἡμῶν καθ’ ἡμῶν. Μέσα δὲ εἴρηνται τὸ ΒΓΔ ὡς πρὸς σύγκρισιν τῶν ψιλῶν καὶ τῶν δασέων· ὡς εἴ τις σύγκρισιν ποιούμενος θερμοτάτου καὶ ψυχροτάτου μέσον τι καλέσῃ, ὡς πρὸς σύγκρισιν ἀμφοτέρων τῶν ἀκροτήτων· συγκρινομένων γὰρ πρὸς τὸ θερμὸν ψυχρὸν ἂν νομισθείη, πρὸς δὲ τὸ ψυχρὸν συγκρινόμενον θερμὸν νομισθείη ἄν· οὕτως οὖν καὶ κατὰ τὸν αὐτὸν τρόπον τὰ μέσα μὲν πρὸς τὰ δασέα ψιλά εἰσι, πρὸς δὲ τὰ ψιλὰ δασέα εἰσίν. Διατί λέγονται διπλᾶ τὸ Ζ. Ξ. Ψ. Λέγουσι δέ τινες, ὅτι οἱ παλαιοὶ οὐ καλῶς αὐτὰ ὀνομάζουσιν. Εἰ γὰρ δῶμεν ἀληθῆ εἶναι τὸν λόγον τὸν φάσκοντα πρὸ τῆς εὑρέσεως αὐτῶν διὰ δύο συμφώνων ἀποτελεῖσθαι τὰς φωνὰς τούτων, ἐξ ὧν καὶ συνεστήκασιν, ἔδει σύνθετα ὀνομάζεσθαι καὶ οὐ διπλᾶ· ὥσπερ καὶ τὰ ἐκ δύο λέξεων συγκείμενα ὀνόματα σύνθετα καλοῦμεν ὡς τὸ φιλοκτίστης καὶ ῥήματα οἷον φιλιππῶ· λέγουσι δέ τινες, ὅτι οὐ δυνατόν ἐστιν ἐκ δύο συμφώνων τὰ διπλᾶ συγκεῖσθαι, ὅτι οὐδέποτε συλλαβὴ εἰς τρία σύμφωνα λήγει· ὅπουγε καὶ σπανίως εἰς δύο.

37 Εἰ δῶμεν τοίνυν, φασί, τοῦτο, εὑρεθήσεται τὸ Σφίγξ εἰς τρία σύμφωνα λῆγον, ὅπερ ἀδύνατον. Καὶ ἔτι φασίν, ὅτι οὐδὲν ἄφωνον προηγεῖται τοῦ Σ κατὰ σύλληψιν, πῶς οὖν δυνήσεται τὸ Κ ἄφωνον ὄν, προηγεῖσθαι τοῦ Σ, ἵνα τὸ Ξ ἀποτελέσῃ; καὶ ἔτι λέγουσιν, ὅτι οὐκ εἰσὶν ἐκ δύο συμφώνων τὰ διπλᾶ, ἐπειδὴ ὁ Ὅμηρος τὸ Ζ οὐ κατ’ ἐπέκτασιν λαμβάνει, οἷον οἵ τε Ζάκυνθον ἔναιον καὶ ἄστυ Ζελείης. Ἄλλως τε εἰ καὶ συγχωροῦμεν αὐτὰ δύναμιν ἔχειν δύο συμφώνων· ἐπειδὴ οἱ Αἰολεῖς κατὰ τὴν προφορὰν τοῦ ζυγός σδύγος γράφουσι καὶ κατὰ τὴν προφορὰν τοῦ ξίφος κσίφος καὶ κατὰ τὴν προφορὰν τοῦ ψέλλιον πσέλλιον· ἀλλ’ ὅμως οὐ δεῖ τὰ κατὰ διάλεκτον ἰδιάζοντα εἰς κοινὸν παραλαμβάνειν. Πρῶτον οὖν καλέσωμεν αὐτὰ μακρά ὡς καὶ τὸ Η καὶ τὸ Ω μέγα· ἤγουν ὥσπερ τὸ Η καὶ τὸ Ω μέγα ἐπέχουσι δύο φωνηέντων δύναμιν καί εἰσι μακρά, οὕτω καὶ τὰ διπλᾶ ἐπέχουσι δύο συμφώνων δύναμιν, ἄρα μακρά εἰσιν. Καὶ λέγομεν ὅτι διὰ τοῦτο οὐ καλοῦνται μακρὰ τὰ διπλᾶ· ἐπειδὴ οὐ δύνανται ἐκφωνεῖσθαι καθ’ αὑτὰ ὥσπερ τὸ Η καὶ τὸ Ω μέγα· εὔλογον δέ ἐστι καλεῖν αὐτὰ σύνθετα ὁμολογουμένως δύναμιν ἔχοντα δύο συμφώνων. Ἰδοὺ γὰρ ἐν τῷ θώρακι καὶ Πέλοπι λέγομεν ὅτι αὗται αἱ δοτικαὶ τῶν ἑνικῶν προσλαμβάνουσι [ἐν ταῖς πληθυντικαῖς] πρὸ τοῦ Ι τὸ Σ. Εὔλογον δέ ἐστι λέγειν αὐτὰ καὶ διπλᾶ ἅτε ἐκ μιᾶς φύσεως τῶν συμφώνων ἔχοντα τὴν γέννησιν. Διατί δὲ τριῶν ὄντων τῶν διπλῶν τὸ μὲν Ξ καὶ τὸ Ψ ληκτικά εἰσι τῶν ὀνομάτων, τὸ δὲ Ζ οὔ; Καὶ λέγομεν, ὅτι οὐ πάντως τὰ ὁμογενῆ καὶ τὰ ὁμοειδῆ τοῖς αὐτοῖς ὑποπίπτουσι πάθεσιν.

38 Ἰδοὺ γὰρ τριῶν ὄντων τῶν διχρόνων τὰ μὲν φαίνονται εἶναι προτακτικὰ τὰ δὲ ὑποτακτικά. Καὶ πάλιν τεσσάρων τῶν ἀμεταβόλων τὰ μὲν αὐτῶν εἰσιν ὀνομάτων ληκτικά, ὡς τὸ Ν καὶ τὸ Ρ, τὰ δὲ οὔ. Δῆλον οὖν, ὅτι οὐκ ἀνάγκη τὰ ὁμογενῆ καὶ τὰ ὁμοειδῆ στοιχεῖα τὰ αὐτὰ ἀναδέχεσθαι πάθη· ἵνα δὲ φυσικώτερον τὸ τοιοῦτον παραστήσωμεν φαμέν, ὅτι τὸ Σ τελικόν ἐστιν ὀνομάτων· καὶ ἡ φωνὴ τοῦ Ξ καὶ τοῦ Ψ κατὰ τὴν ἐκφώνησιν ἐμφαίνει, ὅτι ληκτικόν ἐστι τὸ Σ δυνάμει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τελευταῖον. Εἰ τοίνυν πέφυκεν ὑπάρχειν ληκτικὸν ὀνόματος τὸ Σ, ἐνεργείᾳ μὲν ὡς Αἴας, Χρύσης, δυνάμει δὲ ὡς κόραξ, Ἄραψ· ὅτι τὸ μὲν Ξ ἐκ τοῦ ΚΣ σύγκειται, τὸ δὲ Ψ ἐκ τοῦ ΠΣ· οὐδέν ἐστι τὸ κωλῦον ληκτικὸν εἶναι ὀνομάτων τό τε Ξ καὶ τὸ Ψ. Τὸ δὲ Ζ ἐν τῇ ἐκφωνήσει αὐτοῦ οὐ τὸ Σ ἔχει τελευταῖον ἀλλὰ τὸ Δ. Ἐπειδὴ δὲ οὐδέποτε ἑλληνικὴ λέξις εἰς ἄφωνον καταλήγει· διὰ τοῦτο ἀδύνατον ἐγένετο εὑρεθῆναι τὸ Ζ ληκτικὸν ὀνόματος. Τῶν δεκαεπτὰ συμφώνων τέσσαρα μέν εἰσιν ἀμετάβολα Λ. Μ. Ν. Ρ. ὅτι οὐ μεταβάλλονται οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων· οἷον θεματικὸν ὂν τὸ Λ ἐπὶ τοῦ ψάλλω καὶ τὸ Μ ἐπὶ τοῦ νέμω καὶ τὸ Ν ἐπὶ τοῦ κρίνω καὶ τὸ Ρ ἐπὶ τοῦ ἀείρω, καὶ ἐπὶ τοῦ μέλλοντος αὐτὰ πάλιν φυλάσσουσιν οἷον ψαλῶ, νεμῶ, κρινῶ, ἀερῶ. Καὶ πάλιν τελικὸν ὂν τὸ Ν ἐπὶ τῆς εὐθείας τῶν ὀνομάτων ὡς ἐπὶ τοῦ Ἕλλην καὶ τὸ Ρ ὁμοίως ὡς ἐπὶ τοῦ Νέστωρ τὸ αὐτὸ φυλάττεται πάλιν καὶ ἐπὶ τῶν πλαγίων, οἷον Ἕλληνος, Νέστορος· τὰ δὲ τῶν δεκαεπτὰ συμφώνων θεματικὰ ὄντα τῶν ῥημάτων μεταβολικά εἰσιν οἷον τὸ Β.

39 Π. Φ. Γ. Κ. Χ. Δ. Θ. Τ. Ζ. ΣΣ. τὰ δὲ χαρακτηριστικά εἰσι τῶν μελλόντων οἷον τὸ Ξ καὶ τὸ Ψ. Καὶ εἰ ὁ ἐνεστὼς διὰ τοῦ Β ἢ Π ἢ Φ ἢ ΠΤ διὰ τοῦ Ψ ὁ μέλλων ἐστίν. Εἰ δὲ ὁ ἐνεστὼς τοῦ Ζ ἢ ΣΣ ἐστὶν διὰ τοῦ Ξ ἢ διὰ τοῦ Σ ὁ μέλλων ἐστίν. Καλοῦνται δὲ τὰ τέσσαρα ἀμετάβολα ταῦτα τὸ Λ Μ Ν Ρ καὶ ὑγρά, ὅτι καὶ τῶν χρωμάτων ὅσα μέν εἰσιν ὑγρὰ οὐκ εὐμετάπτωτα τυγχάνουσιν· ὅσα δὲ μή εἰσιν ὑγρά, εὐεξάλειπτα. Καὶ διὰ τὴν ἀφέλειαν τῆς φωνῆς οὕτω καλοῦνται· οὐ γὰρ ὃν τρόπον τὰ ἄλλα σύμφωνα ἐπάλληλα κείμενα κατὰ τὸν λόγον τῶν μέτρων τραχύνουσι τὴν ἀκοήν, δεικνύοντα τὴν αἰτίαν τῶν μέτρων. Κατὰ τοῦτον τὸν τρόπον εἰσὶ καὶ τὰ ἀμετάβολα ἀλλὰ τῇ λειότητι τῆς φωνῆς διαλανθάνουσι τὴν ἀκοήν. Περὶ συλλαβῆς. Ἐπειδὴ συλλαβὴ λέγεται σύλληψις τοὐλάχιστον δύο γραμμάτων, φωνήεντος δηλαδὴ καὶ συμφώνου, ἢ τὸ ἀνάπαλιν· ἄρα καὶ αἱ μονογράμματοι ἤγουν αἱ δι’ ἑνὸς φωνήεντος οὖσαι οὐκ εἰσὶ συλλαβαί. Καὶ λέγομεν, ὅτι οὐ δίκαιόν ἐστι τὰ φωνήεντα τὰ παρέχοντα τοῖς συμφώνοις φωνὴν ἐξῶσαι τελείως τοῦ ὅρου τῶν συλλαβῶν· ὥσπερ γὰρ ἐπὶ τῶν ἀριθμῶν οὐκ ἐκβάλλομεν τὴν μονάδα· ἀλλ’ ἔστιν ὁ ὅρος τοῦ ἀριθμοῦ σύνθεσις μοναδῶν· εἰ οὖν τὸ ἀληθὲς ἡ μονὰς τὸ ἀληθὲς οὐχ εὑρίσκεται οὖσα ἀριθμὸς ὡς ἀσύνθετος οὖσα· ἀλλ’ ὅμως ἐρεῖ πρὸς τοὺς γραμματικοὺς ἡ μονάς· ἐγὼ ἡ παρέχουσα καὶ τοῖς ἄλλοις τὸ εἶναι ἐκβληθήσομαι τοῦ καλεῖσθαι ἀριθμός; οὐ δυνατόν ἐστιν, οὐ δυνατόν. Κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰς μονογραμμάτους συλλαβὰς οὐ δίκαιόν ἐστιν ἀπωθεῖσθαι τῆς συγγενείας τῶν συλλαβῶν, εἰ καὶ μὴ ἐμπεριέχονται τῷ ὅρῳ.

40 Ἐπὶ τοῦ ὅρου τῆς μακρᾶς συλλαβῆς λέγοντος ὅτι μακρὰ συλλαβή ἐστιν ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον δίχρονον ἢ μίαν τῶν διφθόγγων, ἐζήτησάν τινες, ὅτι εἰ τὰ δίχρονα ἔχουσιν ἀμφίβολον τὸν χρόνον αἱ δὲ δίφθογγοι ἀναμφιβόλως μακραὶ τυγχάνουσιν, διατί μὴ ἐπροέταξε τῶν ἀμφιβόλων τὰ ἀναμφίβολα. Καὶ λέγομεν, ὅτι τὰ δίχρονα οὐκ ἐκ συνθέσεως εἶχον τὸ εἶναι μακρά, ἀλλ’ ἐκ φύσεως· αἱ δὲ δίφθογγοι ἐκ συνθέσεως ἔχουσι τὸ εἶναι μακραί· τὰ δὲ δίχρονα ἐξ ἀρχῆς μὲν εἶχον ἐκ φύσεως τὸ ποτὲ μὲν ἐκτείνεσθαι, τὸ ποτὲ δὲ συστέλλεσθαι. Καὶ οὐ θαυμαστὸν δέ, καθ’ ὅτι ὑποκείμενον τὰ ἐναντία γίγνεται. Λέγομεν γὰρ καὶ τὸν Ἀπόλλωνα αἴτιον καὶ τῆς αὐξήσεως καὶ τῆς ἀναιρέσεως· ἐπειδὴ ὁ Ἥλιος τὰ μὲν λύει τὰ δὲ ξηραίνει. Εἰ δέ τις τὸ Ω μέγα βραχύνει τῇ προφορᾷ καὶ συστέλλει τὸν χρόνον αὐτοῦ βαρβαρίζει. Τὸ γὰρ βαρβαρίζειν οὐχ ὑγιές ἐστιν οὐδὲ ἑλληνικόν· εὑρίσκονται δὲ βαρβαρισμοὶ ἐν τοῖς ποιηταῖς ἀμέτρητοι, οἵτινες γίνονται ἕνεκεν μέτρου. Καὶ φύσει μέν εἰσι μακραὶ συλλαβαὶ τρεῖς· ἡ διὰ τοῦ μακροῦ φωνήεντος, ἡ διὰ χρόνου μηκυνομένου καὶ διὰ διφθόγγου. Καὶ φύσει μὲν εἴπομεν, ὅτι οὐκ ἐπὶ τεχνήσεώς τινος γίνονται, ὡς αἱ θέσει μακραί, ἀλλ’ ἐκ τῆς αὐτῶν φύσεως. Ἰστέον δέ, ὅτι οἱ χρόνοι ὄντες κυρίως προσῳδίαι τίθενται ἐπάνω τῶν φωνηέντων καὶ ἐπάνω τοῦ Η καὶ τοῦ Ω μεγάλου· ἐπάνω δὲ τοῦ Ε καὶ τοῦ Ο μικροῦ ἡ βραχεῖα· ἐπάνω δὲ τῶν διχρόνων ποτὲ μὲν ἡ μακρὰ ποτὲ δὲ ἡ βραχεῖα κατὰ τὴν ἀναλογίαν. Ἂν δὲ τύχοι βραχὺ φωνῆεν μεθ’ ἑνὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν συμφώνων ἢ καὶ δίχρονον κατὰ συστολὴν παραλαμβανόμενον κατὰ τὴν ἀναλογίαν τῶν συμφώνων καὶ τὴν σύνθεσιν λαμβάνονται ἢ μακραὶ θέσει δηλονότι ἢ βραχεῖαι· ἡμίβραχυ γὰρ λαμβάνεται ἕκαστον τῶν συμφώνων πλὴν τῶν διπλῶν· ἤγουν τοῦ Ζ.

41 Ξ. Ψ. ὅθεν δίχρονον κατὰ συστολὴν παραλαμβάνομεν ἢ βραχὺ φωνῆεν πρὸ δύο συμφώνων εὑρισκόμενον μακρὸν λαμβάνεται θέσει· τὰ γὰρ ἡμιβράχεα τῶν δύο συμφώνων καὶ τοῦ ἑνὸς φωνήεντος ἡ τελεία βραχεῖα συνελθοῦσαι ἀποτελοῦσι τὴν τελείαν μακράν. Τίνος ἕνεκεν οὐδέποτε λήγει ἡ συλλαβὴ εἰς τρία σύμφωνα· ἀλλὰ πρὸ μὲν ἑνὸς ἢ δύο φωνηέντων εὑρήσεις τρία σύμφωνα ἐν μιᾷ συλλαβῇ οἷον οἰκτρός, κάτοπτρον, μετὰ τὸ φωνῆεν δὲ οὐχ εὑρίσκεται συλλαβὴ λήγουσα εἰς τρία σύμφωνα. Καὶ λέγομεν, ὅτι τὰ φωνήεντα ἐοίκασιν ἐργάταις, τὰ δὲ σύμφωνα φορτίοις· ὡς τὰ μὲν φωνήεντά εἰσιν αὐτοκίνητα ὡς ἂν εἴποι τις αὐτόφωνα, τὰ δὲ σύμφωνα ὡς ἑτεροκίνητα καὶ σὺν ἑτέροις ἐκφωνούμενα αὐτὰ καθ’ αὑτὰ τοῦ προφορικοῦ οὐ τυγχάνουσιν. Ὡς οὖν οἱ ἐργάται ἐπὶ μὲν τῶν ὤμων καὶ ἐπὶ τοῦ νώτου πλείονα φόρτον δύνανται ἐπιβαστάζειν ἢ ἔμπροσθεν ἐπὶ τῶν χειρῶν· οὕτω καὶ τὰ φωνήεντα ὄπισθεν μὲν δύνανται τρία σύμφωνα φέρειν, ἔμπροσθεν δέ, ὡς ἂν εἴποι τις τῶν χειρῶν, τριῶν συμφώνων βάρος οὐ δύνανται φέρειν· πολλὰ δὲ εἰς δύο σύμφωνα λήγουσιν, οἷον· ἅλς, μάκαρς, Τίρυνς, δάμαρς, στράγξ, σάλπιγξ, σφίγξ. Ἰστέον δέ, ὅτι ἄλλο ἐστὶ κατάληξις καὶ ἄλλο ἐπιφορά. Κατάληξις μέν ἐστιν, ὅταν ᾖ συνημμένον τὸ ἑξῆς σύμφωνον ἢ τὰ σύμφωνα τῷ προηγουμένῳ φωνήεντι, οἷον ἅλς. ἀνάγκη γάρ ἐστιν ὡς ἐν μιᾷ συλλαβῇ συνεκφωνεῖν ὁμοῦ πάντα. Ἐπιφορὰ δέ ἐστιν, ὅταν διαστήσῃς τὴν συλλαβὴν ἀπὸ τῶν ἐπαγομένων συμφώνων· οἷον ἀγρός, καπρός. Ἐν μέντοι τῷ ἄρτος μερισμὸς καλεῖται, ὅτι τὸ μὲν ἓν τῶν συμφώνων λαμβάνεται μετὰ τοῦ φωνήεντος ἤγουν τοῦ Α, οἷον ΑΡ, τὸ δὲ ἕτερον λαμβάνεται μετὰ τοῦ φωνήεντος τῆς ἐπιφερομένης συλλαβῆς· οἷον ΤΟΣ.

42 Διατί δὲ δύο ἄφωνα ἢ δύο ἀμετάβολα ὑγρὰ οὐ ποιοῦσι κοινὴν συλλαβήν, ἀλλὰ θέσει μακράν; φαμὲν οὖν, ὅτι πάντα τὰ ἴσα, ἐὰν ἐλάσσονα ᾖ τῶν ἀνίσων λίαν εἰσὶν ἰσχυρότερα ὡς ἐπὶ τοῦ ζεύγους ἡμιόνων καὶ ζεύγους ἡμιόνου καὶ βοός. Πῶς οὖν τὸ Μ καὶ τὸ Ν κοινὴν ἐποίησαν συλλαβήν; ὡς ἐν τῷ Πῶς μὲν ὁ μνησάρχειος ἔφυ ξένος; φαμὲν οὖν, ὅτι ἄφωνον πρὸ ἀμεταβόλου εὑρίσκομεν κατὰ σύλληψιν· οὐδέποτε δὲ ἀμετάβολον πρὸ ἀμεταβόλου εἰ μὴ μόνον τὸ Μ καὶ Ν, ὧνπερ τὸ Μ τάξιν ἀφώνου ἐπέχον ἡγεῖται, ἤγουν ἐστὶ πρὸ τοῦ Ν, καὶ ποιοῦσι κοινὴν συλλαβήν. Πῶς οὖν πάλιν τὸ ΠΤ κοινὴν συλλαβὴν ἐργάζονται ὡς ἐν τῷ Αἰγυπτίῃ τῇ πλείστῃ· φαμὲν οὖν, ὅτι ἐπειδὴ ἄμφω εἰσὶν ἄγαν ἀσθενῆ καὶ οὐ μόνον ἄφωνα τυγχάνουσιν, ἀλλὰ καὶ ψιλά, ἅπερ πάντων τῶν στοιχείων ὑπάρχουσιν ἀσθενέστερα· εὑρίσκονται γὰρ ἐν συμφώνοις, ἅπερ ἥττονά εἰσι τῶν φωνηέντων· συναριθμοῦνται καὶ ἄφωνα, ἅπερ ἀσθενέστερά εἰσι τῶν ἡμιφώνων· ὁρῶνται καὶ ψιλά, ἅπερ ἰσχυρότερά εἰσι τῶν δασέων καὶ μέσων. Πῶς οὖν πάλιν τὸ Σ καὶ Κ κοινὴν ἐργάσαντο συλλαβὴν ὡς ἐν τῷ Οὐδὲ Σκάμανδρος ἔληγε—φαμὲν οὖν, ὅτι ἀνάγκη ἦν τὰ ὀνόματα τῶν πραγμάτων καὶ τῶν τόπων καὶ τῶν ἄλλων πῶς ἐχόντων ἐντίθεσθαι τῇ ποιήσει, ἃ ἐντιθέμενα πάντως χωλὸν ποιοῦσι πολλάκις τὸν στίχον, καὶ διὰ τοῦτο ὁ ποιητὴς κατεφρόνησε τὸ χρειῶδες τοῦ μέτρου διὰ τὴν ἀνάγκην τῆς ἐννοίας. Διατί δὲ τρεῖς μόνοι τρόποι εἰσὶ τῆς κοινῆς συλλαβῆς· ὅτι πᾶσα συλλαβὴ ἢ μακρά ἐστιν ἢ βραχεῖα. Καὶ εἰ μὲν μακρά ἐστι διχῶς γίνεται, φύσει ἢ θέσει· εἰ δὲ βραχεῖα, μονότροπός ἐστιν.

43 Ἕκαστος οὖν τρόπος τῇ κοινῇ παρεχώρησεν· ὁ μὲν οὖν φύσει ἐν τῷ Οὔτι μοι αἰτίη ἐσσί. ὁ δὲ θέσει ἐν τῷ Πάτροκλέ μοι· ὁ δὲ βραχὺς ἐν τῷ Νέστορα δ’ οὐκ ἔλαθεν ἰαχή. Διατί δὲ μάλιστα τὸ Ρ ἐκ τῶν τεσσάρων ἀμεταβόλων μηκύνει τὴν πρὸ αὐτοῦ βραχεῖαν συλλαβήν; διότι οὐ μόνον τῷ ποιητῇ ἔξεστι τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἡμῖν τοῖς μεταγενεστέροις τούτῳ μόνῳ κεχρῆσθαι ἔξεστιν, ἤγουν τῇ ἰδίᾳ τοῦ Ρ ἐπιφορᾷ καὶ μόνον μηκύνειν τὴν βραχεῖαν συλλαβήν, τῷ δὲ ποιητῇ καὶ τῇ τῶν ἄλλων ἀμεταβόλων ἐπιφορᾷ μηκύνειν τὴν βραχεῖαν συλλαβήν, τοῦ Λ μὲν

ὡς ἐπὶ τοῦ Ποσσὶ δ’ ὑπὸ λιπαροῖσι, τοῦ Μ δὲ ὡς ἐπὶ τοῦ Θυμὸν ἀπὸ μελέων, τοῦ Ν δὲ ὡς ἐπὶ τοῦ Ἀλλ’ ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα. Διατί δὲ τὰ ἀμετάβολα ἐκτείνουσιν· ὅτι, φασί, τοῦ ἀμεταβόλου ἡ ὑγρότης σχεδὸν ὁμοία ἐστὶ τῇ τοῦ φωνήεντος· ἄλλοι δέ φασιν, ὅτι ἐν τοῖς τοιούτοις ἔπεσιν, ἐν οἷς ἀμετάβολον εὑρίσκεται, ἀναδιπλασιάζειν δεῖ ὡς τὸ φιλομμειδής. Διατί τὸ δίχρονον ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν καὶ ἐπὶ τῆς αἰτιατικῆς αὐτῶν οὐκ ἐκτείνεται; Διότι, ἐπειδὴ ἄρθρον ἐστὶν οὐδετέρου ὀνόματος πληθυντικοῦ ἀριθμοῦ, διὰ τοῦτο συστέλλεται, ἵνα διαφορὰς ἔχῃ πρὸς τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν τοῦ θηλυκοῦ γένους. Ἔστι γάρ· ἡ καλή, τῆς καλῆς, τῇ καλῇ, τὴν καλήν, ὦ καλή. Ἡ εὐθεῖα καὶ ἡ αἰτιατικὴ τῶν δυϊκῶν τὰ καλά· μακρὸν καὶ τὸ τά καὶ τὸ λα. Ἔστι δὲ τὸ καλόν, τοῦ καλοῦ· ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν πληθυντικῶν τὰ καλά· βραχὺ καὶ τὸ τά καὶ τὸ λ α . Φασί τινες, ὅτι οἱ παραπληρωματικοὶ σύνδεσμοι οὐκ ἔχουσι νοητόν. Φαμὲν δέ, ὅτι λέξεις εἰσὶ καθὸ ἐγκλίνονται καὶ ὀρθοτονοῦνται καὶ ὅτι σημασίαν ἔχουσιν, ὁ μὲν γε μείωσιν, ὡς τὸ εἰ μὲν τοῦτο οὐ δίδως, ἐκεῖνό γε χάρισαι· σημαίνει ἐναντίωσιν ὡς τὸ καλῶς γε.

44 Ὁ περ δὲ πάλιν σημαίνει ἐναντίωσιν ὡς τὸ μὴ δ’ οὕτως ἀγαθός περ ἐών. Ὁ ρα δὲ σημαίνει τὸ εὐκόλως, ὡς τὸ ἄλλοι μέν ῥα θεοί. Καὶ παραπληρωματικοὶ ἐκλήθησαν κυρίως, ὅτι διάφορα δηλοῦντες πληροῦσι τὴν διάνοιαν. Διατί τὰς γενικὰς τὰς ἀπὸ τῶν εἰς υς ληγουσῶν εὐθειῶν οὐ προφέρομεν διὰ τοῦ ηος, οἷον ὀξύς ὀξῆος, ἡδύς ἡδῆος ὥσπερ βασιλεύς βασιλῆος. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς ἐπὶ τῆς εὐθείας ἐπὶ τῶν περιττοσυλλάβως κλινομένων, ἀλλὰ ἢ τὸν ἴσον χρόνον θέλει ἔχειν ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· ὁ Αἴας τὸ μὲν ας φύσει μακρόν, τὸ δὲ Αἴαντος τὸ αν θέσει· ὁ χαρίεις τὸ εις φύσει μακρόν, τοῦ δὲ χαρίεντος τὸ εν θέσει· ὁ Λάχης το χης φύσει μακρόν, τοῦ Λάχητος τὸ χη φύσει μακρὸν πάλιν. Ἐπειδὴ δὲ τὸ Πηλεύς καὶ τὰ ὅμοια τὴν λήγουσαν ἔχουσι τῆς ἰδίας εὐθείας μακράν, ἐποίησαν οἱ Ἴωνες τὴν γενικὴν Πηλῆος διὰ τοῦ Η ἐπὶ τῆς παραληγούσης, ἵνα ᾖ ἡ παραλήγουσα τῆς γενικῆς ἴση τῇ ληγούσῃ τῆς εὐθείας· ἐπὶ δὲ τοῦ ἡδύς οὐκ ἠδύναντο τὴν γενικὴν διὰ τοῦ Η ἐκφέρειν ἤγουν ἡδῆος· εὑρίσκοιτο γὰρ ἂν μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας. Ἐπειδὴ τὰ εἰς υς λήγοντα βραχὺ τὸ Υ ἔχουσι. Κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς Σ λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ Σ τὸ οὐδέτερον ποιοῦντα συνεσταλμένον ἔχουσι τὸ δίχρονον· ὁ ἡδύς, τὸ ἡδύ, ὁ μέγας, τὸ μέγα, ὁ τίς, τὸ τί. Πῶς ἀπὸ τῶν πέντε σεσημειωμένων ἀορίστων, τῶν μὴ φυλαξάντων τὸ σύμφωνον τοῦ μέλλοντος ἤγουν τοῦ εἶπα, τοῦ ἤνεγκα, τοῦ ἔδωκα, τοῦ ἔθηκα, τοῦ ἧκα, τὸ μὲν εἶπα καὶ τὸ ἤνεγκα κινοῦνται κατὰ τὰς ἄλλας ἐγκλίσεις, τὰ δὲ τρία οὐ κινοῦνται; Καὶ ὁ μὲν Ἀπολλώνιος λέγει, ὅτι ἐπειδὴ τὸ εἶπα καὶ ἤνεγκα οὐκ ἔχουσι μέλλοντας ἐν χρήσει, ἀφείλοντας ἐλέγξαι τὴν παραλογίαν αὐτῶν ἐν τῷ λήγειν τὸν μὲν εἰς Π, οἷον εἶπα, τὸν δὲ εἰς Κ, οἷον ἤνεγκα, ἀορίστους ὄντας εἰκότως οὐκ ἐκωλύθησαν προβῆναι καὶ περαιτέρω.

45 Ὅτι δέ ἐστι τοῦτο δείκνυσι καὶ ἐκ τούτου, οἷον· ἐμαυτὸν ἔτυψα, σαυτὸν ἔτυψας, ἑαυτὸν ἔτυψεν· συνάπτεται τοίνυν τὸ ἑαυτόν τῷ τρίτῳ προσώπῳ καὶ ἐὰν τολμήσῃ εἰσελθεῖν εἰς τὸ δεύτερον ἢ πρῶτον πρόσωπον ἐλέγχεται ὡς παράλογον ἀπὸ τοῦ ἐμαυτόν πρώτου καὶ σαυτόν δευτέρου· ἐὰν δὲ ἔλθῃ εἰς πληθυντικὰ τὸ ἑαυτόν εἰς πρῶτον καὶ δεύτερον πρόσωπον ἀκωλύτως λέγεται καὶ οὐκ ἔχει τὸν κωλύοντα· ἐπειδὴ τὸ ἐμαυτοῦ καὶ σαυτοῦ πρῶτον καὶ δεύτερον πρόσωπον πληθυντικὰ οὐκ ἔχουσι καὶ ἔξεστι λέγειν ἑαυτοὺς ὠφελήσαμεν, ἑαυτοὺς ὠφελήσατε. Καὶ ταῦτα μὲν κατὰ τὸν Ἀπολλώνιον. Ὁ δὲ Ἡρωδιανὸς λέγει· ὅτι τὸ εἶπα διὰ τοῦ Ψ ὤφειλεν ἐκφέρεσθαι οἷον εἶψα· ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ Ψ οἷον ἔψω· καὶ πάλιν τὸ ἤνεγκα διὰ τοῦ Ξ ὤφειλεν ἐκφέρεσθαι· οἷον ἤνεγξα· ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ Ξ, οἷον ἐνέγξω· ἐπεὶ τοίνυν ἐγένετο εἶπα καὶ ἤνεγκα καὶ βλέπομεν, ὅτι ἔχει συγγένειαν τὸ Π πρὸς τὸ Ψ, ἐπειδὴ ἐκ τοῦ Π καὶ Σ σύγκειται τὸ Ψ. Καὶ πάλιν τὸ Κ ἔχει συγγένειαν πρὸς τὸ Ξ, ὅθεν λοιπὸν τὸ εἶπα καὶ ἤνεγκα ὡς φυλάξαντα

μέρος τι τῆς ἀναλογίας ἐκλίθησαν καὶ περαιτέρω. Τὸ δὲ ἔδωκα καὶ ἔθηκα καὶ ἧκα ἀόριστοι διὰ τοῦ Σ ὤφειλον ἐκφέρεσθαι, ἐπειδὴ ὁ μέλλων αὐτῶν διὰ τοῦ Σ ἐκφέρεται, οἷον δώσω, θήσω, ἥσω. Ἐπεὶ τοίνυν οὐκ ἔχει συγγένειαν τὸ Κ καὶ πρὸς τὸ Σ, ἔμειναν εἰκότως ἄκλιτοι οἱ τρεῖς ἀόριστοι οὗτοι μετὰ τὰ ὁριστικά.

46 Εἰ μὲν πᾶν παθητικὸν ῥῆμα περιττοσυλλαβεῖ τοῦ ἰδίου ἐνεργητικοῦ χωρὶς τῶν εἰς μι, οἷον τύπτω, τύπτομαι, ἔτυπτον, ἐτυπτόμην· διατί ὁ παθητικὸς παρακείμενος καὶ ὁ ὑπερσυντέλικος οὐ περιττοσυλλαβεῖ τοῖς ἐνεργητικοῖς αὐτῶν, οἷον τέτυφα, τέτυμμαι, γέγραφα γέγραμμαι; Καὶ λέγομεν, ὅτι πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ Μ κλιτικὸν περιττεῦον μιᾷ συλλαβῇ τοῦ ἰδίου ἐνεργητικοῦ θέλει ἔχειν τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ, ἅμα δὲ καὶ τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἰδίου ἐνεργητικοῦ· οἷον τύπτομαι, τύπτομεν, τύπτοντος· ὁ οὖν παρακείμενος καὶ ὑπερσυντέλικος τῷ μὲν λόγῳ τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ ὤφειλε γράφεσθαι τετύφαμμαι καὶ ἐτετυφείμην. Τὸ γὰρ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεργητικοῦ παρακειμένου ποιεῖ τετύφαμεν, τῷ δὲ λόγῳ τῆς παραληγούσης τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἰδίου ἐνεργητικοῦ ὤφειλον γράφεσθαι τετύφομμαι καὶ ἐτετυφόμμην· ἡ γὰρ παραλήγουσα τῆς γενικῆς τῆς μετοχῆς τῶν ἑνικῶν τοῦ ἰδίου ἐνεργητικοῦ ποιεῖ διὰ τοῦ Ο μικροῦ, οἷον τετυφότος· τούτων οὖν μαχομένων ἀπεκόπη ἡ ἀμφιβαλλομένη συλλαβὴ καὶ γέγονε τέτυμμαι καὶ ἐτετύμμην ὁ παρακείμενος καὶ ὑπερσυντέλικος ὁ παθητικός, ὅθεν καὶ ἐξ ἀνάγκης ἰσοσυλλαβοῦσι τοῖς ἰδίοις ἐνεργητικοῖς. Διατί καὶ ὁ μέλλων οὐκ ἐπιδέχεται αὔξησιν ὥσπερ οἱ παρῳχημένοι; Διότι ἐκεῖνοι παρεληλυθότες εἰσὶ καὶ μακρότερον τοῦ ἐνεστῶτος κείμενοι, ὁ δὲ μέλλων, ἐπεὶ οὐ γέγονεν ἔτι, ἀλλὰ μέλλει γενέσθαι, διὰ τοῦτο συνέσταλται· ἐπειδὴ ὁ προστάσσων ἐξ ἀνάγκης ἀεί ποτε περὶ μέλλοντός τινος προστάσσει· τῷ γὰρ μήπω γράψαντί φησι· γράψον· καὶ τῷ μήπω ἐλθόντι λέγει· ἐλθέ· καὶ ἁπλῶς τὸ μήπω γεγονὸς λέγει· γενέσθω.

47 Ἐπεὶ τοίνυν ἀεί ποτε περὶ μέλλοντός ἐστιν ἡ προσαγωγὴ καὶ ὁ προστάσσων περὶ παρελθόντος τινὸς καὶ προγενομένου γενέσθαι ἄρτι μάταιος ἂν εἴη. Πῶς δὴ ὁ Τεχνικὸς ἐνταῦθα ἐνεστῶτας καὶ παρακειμένους καὶ ὑπερσυντελίκους καὶ ἀορίστους παρέδωκε; Καὶ λέγομεν, ὅτι ἐπὶ τῶν προστακτικῶν οἱ ἐνεστῶτες καὶ οἱ παρεληλυθότες πάντες οὐ κυρίως εἰσίν, ἀλλὰ γύμνωσίς ἐστι τοῦ λόγου, ἤγουν σχηματισμός. Καὶ σχήματα μόνον ἐνεστώτων καὶ παρεληλυθότων, σημασίαν δὲ μέλλοντος εἰσάγουσιν. Αὐτίκα τὸ μὲν τύπτε ἐνεστὼς μὲν καλεῖται· ἀλλ’ οὐκ ἔστι κυρίως· οὐ γὰρ τότε τύπτει ὁ προστασσόμενος, ὅτε ὁ προστάσσων αὐτῷ λέγει τύπτε· εἰ γὰρ ἔτυπτε· περισσὸν ἦν ἄρα λέγειν αὐτῷ· τύπτε· ὅμοιον καὶ τὸ τύψον· ὥστε δῆλον, [ὅτι] καταχρηστικῶς λέγονται ἐνεστῶτες καὶ παρεληλυθότες, ὡς ἐκ τῶν ἐνεστώτων καὶ παρεληλυθότων σχηματιζόμενοι, τῇ δὲ σημασίᾳ μέλλοντές εἰσι πάντες. Ἐπειδὴ ὁ εὐχόμενος ἐξ ἀνάγκης ἀεί ποτε περὶ μέλλοντός τινος εὔχεται· ὁ γὰρ πεσὼν καὶ τὴν κεφαλὴν κατεαγώς, [εἰ] εὔχοιτο μετὰ ταῦτα μὴ πεσεῖν, μάταιος ἂν εἴη· ἐπεὶ τοίνυν περὶ μέλλοντός ἐστιν ἡ εὐχή, καὶ τὸν εὐχόμενον περὶ μελλόντων χρὴ εὔχεσθαι, ἔδει καὶ τὸν Τεχνικὸν μέλλοντας ποιῆσαι τοὺς εὐκτικοὺς χρόνους καὶ ἐνεστῶτα μὴ παραλαβεῖν ἤ τινα τῶν παρῳχημένων. Καὶ λέγομεν αὐτό, ὅπερ καὶ ἐν τοῖς προστακτικοῖς εἰρήκαμεν, ὅτι τὴν ὀνομασίαν ἔλαβον ἐκείνων τῶν χρόνων ἀφ’ ὧν ἔχουσι τὸν σχηματισμὸν καὶ ψιλῷ ὀνόματι οὕτω καλοῦνται, σημασίαν δ’ ὅμως μέλλοντος ἔχουσιν.

48 Διατί ἡ ἔγκλισις ἡ ὑποτακτικὴ καλεῖται ὑποτακτική; Καὶ λέγομεν, ὅτι ἐπειδὴ προτάσσονται τοῦ ῥήματος οἱ αἰτιολογικοὶ σύνδεσμοι διὰ τοῦτο λέγονται αὐτὰ ὑποτασσόμενα τοῖς συνδέσμοις ῥήματα ὑποτακτικά· ἐπὰν δ’ εὕρῃς ῥῆμα ὑποκάτω τῶν συνδέσμων κείμενον, ὑποτακτικὸν αὐτὸ ὀνόμαζε ῥῆμα, καὶ γίνωσκε ὅτι ἀεὶ αἰτίαν τινὰ σημαίνει, οἷον· ἐὰν μάθῃς καλῶς τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γραμματικήν, τιμηθήσῃ καὶ ὀρθογράφος γενήσῃ· ὑποτάσσει δὲ πᾶς αἰτιολογικὸς σύνδεσμος, ἐὰν ἀκριβῶς σκοπήσῃς τὴν ἔννοιαν. Εἰσὶ δὲ καὶ ἕτερα μόρια, ἅτινα ὑποτάσσουσι, τὸ μή, τὸ ἡνίκα, τὸ ἕως, τὸ ἂν καὶ ὅσα ἐξ αὐτοῦ σύγκειται, οἷον οὐκ ἄν, κἄν, ἐπάν, ἐπειδάν, ὅταν, ὁπόταν· ὅτε δὲ τὸ ὅπως λαμβάνεται ἀντὶ τοῦ πῶς καὶ ἀντὶ τοῦ ὅπου καὶ ἀντὶ τοῦ ποῦ, ὁμοίως καὶ τὸ ἵνα, ὅτε λαμβάνεται ἀντὶ τοῦ ὅπου, οὐχ ὑποτάσσουσιν· ὑποτάσσει δὲ καὶ τὸ μή τὸ ἀπαγορευτικόν, ἤγουν τὸ κωλυτικόν, μετὰ ἀορίστου ταττόμενον, οἷον· μὴ κλέψῃς καὶ ὅτε ἔχει πρὸ αὐτοῦ τὸ οὔ, οἷον οὐ μὴ προσκόψῃ· ὑποτάσσει· δὲ καὶ τὸ ἕως, ὅτε ἔχει σὺν αὐτῷ τὸ οὗ, οἷον· ἕως οὗ ἐπιστρέψῃς τὴν κρίσιν. Διατί μὴ ἔστι τάσις πρὸ τριῶν συλλαβῶν; Καὶ λέγομεν, ὅτι ἀδύνατόν ἐστιν ἐκταθῆναι τὴν φωνὴν πέραν τοῦ τοιούτου μέτρου, ἤτοι ὀξυνθῆναι πρὸ τριῶν συλλαβῶν· ἔπειτα οὐδὲ λέξις ἑλληνικὴ θεματική, ἁπλῆ, πρωτότυπος θέλει ὑπερβαίνειν τὴν τρισυλλαβίαν. Ἑλληνική δὲ εἴπομεν διὰ τὰς μὴ οὔσας ἑλληνικάς, οἷον Ἰωάννης. Θεματική δὲ εἴπομεν διὰ τὸ ἐφίλησαν, ὅπερ οὐκ ἔστι θεματικόν. Τὸ γὰρ θεματικὸν φιλῶ ποιεῖ· ἁπλῆ εἴπομεν διὰ τὸ Γεώργιος· ἀπὸ γὰρ τοῦ γεωργῶ παράγεται· μηδέποτε δὲ τετρασυλλάβου λέξεως εὑρισκομένης, πῶς ἔμελλε γίνεσθαι τάσις πρὸ τριῶν συλλαβῶν; Διατί δὲ μακρᾶς οὔσης οὐ δύναται προπαροξυνθῆναι λέξις; Καὶ λέγομεν, ὅτι ἡ μακρὰ φορτίου τάξιν ἐπέχει καὶ βάρους· ὁ γὰρ φθόγγος τῆς μακρᾶς δυσκίνητός ἐστιν, ὁ δὲ τῆς βραχείας εὐσταλής· ὥσπερ οὖν οἱ τὰ φορτία ἐν τοῖς ποσὶ περικείμενοι οὐ δύνανται ταθῆναι τὸν δρόμον· οὕτω καὶ ἡ φωνὴ οὐ δύναται ἐπὶ πολὺ ταθῆναι τῆς μακρᾶς κειμένης ἐπὶ τέλους· εἰ δὲ ἐν ἄλλῃ συλλαβῇ κεῖται, εἴτε ἐν παραληγούσῃ εἴτε ἐν προπαραληγούσῃ, προπαροξύνεται.

49 Διατί μὴ καὶ τῆς περισπωμένης τρεῖς εἰσι τόποι, ὥσπερ καὶ τῆς ὀξείας; Καὶ λέγομεν, ὅτι τούτου χάριν ἡ περισπωμένη οὐ δύναται τεθῆναι πρὸ δύο συλλαβῶν, ἐπειδὴ ἀπὸ κράσεως ὀξείας καὶ βαρείας ἡ περισπωμένη γίνεται. Συνελθουσῶν γὰρ ὀξείας καὶ βαρείας ἐγένετο ἡ περισπωμένη· ἐπεὶ γοῦν οὐχ εὑρίσκεται ὀξεῖα πρὸ τριῶν συλλαβῶν κατὰ τὸν λόγον τὸν προειρημένον, ἀδύνατόν ἐστι συνελθεῖν τὴν ἐν τῇ πρὸ τριῶν συλλαβῶν ὀξεῖαν καὶ τὴν ἐν τῇ πρὸ δύο συλλαβῶν βαρεῖαν [καὶ] ἀποτελέσαι περισπωμένην ἐπὶ τῆς προπαραληγούσης. Προοίμιον τῆς γραμματικῆς τέχνης. Μέλλοντες ἐξηγεῖσθαι τὴν γραμματικὴν τέχνην, ἀναγκαίως ᾠήθημεν δεῖν πρὸ τῆς κατὰ μέρος ἐξηγήσεως δεῖξαι, τί ἐστι τέχνη καὶ τίς ἡ ἐξ αὐτῆς ὠφέλεια τῷ βίῳ, καὶ πόθεν εἴρηται τέχνη καὶ πόσαι διαφοραὶ αὐτῆς, εἶθ’ οὕτως ἐφεξῆς χρήσασθαι τῇ ἐξηγήσει. Ὅτι μὲν οὖν χρησιμωτάτη ἐστὶ τῷ βίῳ ἡ τέχνη, πολλοὶ μὲν πολλάκις ἐμαρτύρησαν· ἐξαιρέτως δὲ Ὕπαρχος ὁ κωμικὸς ποιεῖται τοῦτο δῆλον, λέγων οὑτωσί· Πολὺ γάρ ἐστι κτῆμα τιμιώτατον Ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.

50 Τέχνη μέν ἐστιν ἕξις ὁδοποιητικὴ τοῦ κοινοῦ συμφέροντος. Τέχνη ἐστὶ μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον. Τί ἐστι τέχνη; σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Σύστημα γάρ ἐστι τὸ πλῆθος· πλήθους γὰρ θεωρημάτων καὶ οὐχ ἑνὸς μόνου θεωρήματος δεῖται ἡ τέχνη. ἐκ καταλήψεων· τουτέστι γνώσεων ἐγγεγυμνασμένων, ἤγουν συνεζητημένων καὶ φανερῶν· γυμνῶσαι γὰρ τὸ εἰς φῶς καὶ γνῶσιν ἐνεγκεῖν· πρός τι τέλος εὔχρηστον τῶν ὄντων ἐν τῷ βίῳ· διότι πᾶσα τέχνη ἐπινενόηται διὰ τὸ συμφέρον τῶν ὄντων ἐν τῷ βίῳ· ἂν δὲ ᾖ ἡ τέχνη ἐπὶ βλάβῃ οὐκ ἔστιν αὕτη τέχνη, ἀλλὰ κακοτεχνία, ὡς τοιχωρυχία καὶ τυμβωρυχία· δοκοῦσι γὰρ καὶ οἱ ταῦτα ἐργαζόμενοι ὅτι τέχνην ἐργάζονται καὶ ὡς ἔπος εἰπεῖν· εἴ τις τέχνη γίνεται ἀπηγορευμένη τῷ βίῳ, ἧς τὸ τέλος ἁμαρτία καὶ θάνατος, οὐκ ἔστι τέχνη, ἀλλὰ κακοτεχνία· ἡ τέχνη τοίνυν πρᾶγμά ἐστι χρειωδέστατον τῶν ἐν τῷ βίῳ ἀνθρώπων· ἀπαλλάττει γὰρ ἡμᾶς πάσης ῥαθυμίας καὶ ἀργίας καὶ λογισμῶν ἐπιβλαβῶν καὶ ἐννοιῶν ἀτόπων καὶ τὸν βίον κοσμεῖ πᾶσιν ἀγαθοῖς· διὰ γὰρ τῆς τέχνης ἐπενοήσαμεν οἴκους εἰς ἀποφυγὴν ὄμβρων· δι’ αὐτῆς ἐπενοήσαμεν κατασκευάζειν τείχη πρὸς σωμάτων φυλακὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἀσφάλειαν καὶ πάντα τὰ ἀγαθὰ τῷ βίῳ ἡ τέχνη κατεργάζεται. Διαφοραὶ δὲ τῆς καθόλου τέχνης εἰσὶ τέσσαρες· θεωρητική, πρακτική, ποιητικὴ καὶ μικτή.

51 Καὶ θεωρητικὴ μὲν λέγεται ἡ διὰ μόνου τοῦ λόγου παραδιδοῦσα τὰ πράγματα, ὥσπερ ἡ ἀστρονομία· ὁ γὰρ ἀστρονόμος διὰ λόγου μόνου παραδίδωσι τὸν ἥλιον εἶναι σήμερον, εἰ τύχοι ἐν τῷ λέοντι ἢ ἐν τῇ παρθένῳ· πρακτικὴ δὲ λέγεται ἡ δι' ὀργάνων ἐνεργοῦσα ὡς ἡ στρατηγική. Ἐν γὰρ ταῖς παρατάξεσι δέεται ἡ στρατηγικὴ πολλῶν ὀργάνων, ἤγουν τόξων, βελῶν καὶ τῶν τούτοις ὁμοίων· πρακτικὴ δὲ καλεῖται, ἣ ἐφ' ὅσον καιρὸν ἐνεργεῖ, ἔστιν ὡς τέχνη· ὁποία ἡ αὐλητικὴ καὶ ὀρχηστική· μετὰ δὲ τὸ παύσασθαι οὐδέν ἐστιν· ποιητικὴ δὲ λέγεται ἡ λαβοῦσα ὕλην ἀδιατύπωτον καὶ ποιοῦσά τι ὁμοίωμα ὡς ἡ τεκτονική, ἡ σκυτοτομική, ἡ ἀνδρειαντοπλαστική· μικτὴ δὲ λέγεται ἡ μετέχουσα θεωρητικοῦ καὶ πρακτικοῦ καὶ ποιητικοῦ ὡς ἡ ἰατρική· κοινωνεῖ γὰρ τῷ θεωρητικῷ, ὅταν διατάσσῃ τοῖς νοσοῦσί τινα δίαιταν, τῷ δὲ πρακτικῷ κοινωνεῖ, ὅταν λαβοῦσά τι τῶν ἰατρικῶν ἐργαλείων διορθοῖτό τι τῶν μελῶν τοῦ σώματος τῶν ἀσθενούντων· τῷ δὲ ποιητικῷ ὅταν χρησαμένη τῇ ὕλῃ τῶν βοτανῶν ἀποτελέσῃ φάρμακον. Ταύτης δὲ τῆς ἰατρικῆς ἐστιν ἀδελφὴ ἡ γραμματικὴ κατὰ τὰς διαφοράς· ἐπεὶ καὶ αὕτη ἡ γραμματικὴ τοῦ μικροῦ εἴδους ἐστίν. Ὅταν γὰρ τὰς ἱστορίας διηγῆται τοῖς μαθηταῖς κοινωνεῖ τῷ θεωρητικῷ, ὅταν δὲ κάλαμον λαβοῦσα διορθῶται τὰς μὴ εὖ ἐχούσας τῶν λέξεων κοινωνεῖ τῷ πρακτικῷ· ὅταν δὲ τὴν ὕλην λαβοῦσα καὶ τέχνῃ καὶ μέτρῳ συναρμόσῃ καὶ τέλειον στίχον ἀπεργάσηται κοινωνεῖ τῷ ποιητικῷ. Τέχνη ἐστὶ διὰ ταὐτὸ τῆς ἐργασίας ὑπὸ πλειόνων ἐξευρημένη διὰ τὴν ὁμοιότητα, ἢ μέθοδός ἐστιν ἀποτελεσματικὴ τῶν ἐπιτηδείων πρὸς τὸ εὖ ζῆν.

52 Εἴρηται δέ· ταὐτὸ τῆς ἐργασίας· διότι οὐκ ἔχει ἡ χαλκευτικὴ τὴν ἐργασίαν ποτὲ μὲν διὰ πυρός, ποτὲ δὲ δίχα πυρός, ἀλλ' ἀεὶ διὰ πυρός. Εἴρηται δέ· ὑπὸ πλειόνων· ἐπειδὴ διάφοροι καὶ οὐχ εἷς ταύτην συνεστήσαντο· μόνος δὲ ὁ Παλαμήδης ἐφεῦρε τὴν κυβευτικὴν τέχνην ἐν τῇ Τροίᾳ· αἱ δὲ λοιπαὶ τῶν τεχνῶν διὰ πολλῶν εὑρέθησαν. Εἴρηται δέ· ἢ μέθοδος ἀποτελεσματική· μέθοδος τοίνυν ἐστὶν ἡ μετὰ τὴν ὅδευσιν, ἤγουν κίνησιν, τοῦ νοῦ εὑρεθεῖσα καὶ θεματισθεῖσα ἐργασία ἐπὶ ζητήσει τῆς τέχνης. Εἴρηται δέ· ἀποτελεσματικὴ τῶν ἐπιτηδείων πρὸς τὸ εὖ ζῆν· ἐπειδὴ ἡ γεωργία καὶ ἡ φρεωρυκτικὴ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν ἀπετελέσθησαν πρὸς τὸ εὖ ζῆν ἡμᾶς. Διαιρεῖται δὲ ἡ καθόλου τέχνη εἰς λογικὴν καὶ πρακτικήν. Καὶ λογικαὶ μέν εἰσιν ὅσαι λόγῳ κατορθοῦνται, οἷον γραμματική, ῥητορική, ἀριθμητική, γεωμετρική, ἀστρονομία σὺν τῇ μητρὶ τούτων φιλοσοφίᾳ· ἔχει γὰρ ἑκάστη τούτων ἰδίους λόγους, οὓς ἑτέρα οὐκ ἔχει· ἡ μὲν γὰρ γραμματικὴ διδάσκει ἡμᾶς τὴν ἐν τριβῇ ἀνάγνωσιν κατὰ προσῳδίαν, τὴν ἐξήγησιν κατὰ τοὺς ἐνυπάρχοντας τρόπους, τὴν τῶν γλωσσῶν καὶ ἱστοριῶν πρόχειρον ἀπόδοσιν, τὴν τῆς ἐτυμολογίας εὕρεσιν, τὴν τῶν ποιημάτων κρίσιν καὶ ἄλλα πολλά. Ἡ δὲ ῥητορικὴ διδάσκει ἡμᾶς τὴν τῶν λόγων δεινότητα καὶ ἑτοιμότητα. λέγεται δὲ ῥητορικὴ ἀπὸ τοῦ ῥεῖν τὸν λόγον ἀφθόνως. Ἡ δὲ ἀριθμητικὴ διδάσκει ἡμᾶς τὴν τῶν ἀριθμῶν μέθοδον καὶ πόσα τὰ τῶν ἀριθμῶν εἴδη καὶ ποῖα. Ἡ δὲ γεωμετρία διδάσκει ἡμᾶς τὰ τῆς γῆς σχήματα τά τε γεώλοφα καὶ ἐπίπεδα καὶ πρηνῆ καὶ τρίγωνα καὶ τὴν σύντομον εἴδησιν τῆς τούτων ἰσότητος. Ἡ δὲ ἀστρονομία διδάσκει ἡμᾶς τὴν τῶν οὐρανίων σωμάτων κίνησιν, ἐπιτολάς τε ἀστέρων καὶ δύσεις, προσεγγισμούς τε καὶ ἀποστάσεις, ἐκλείψεις ἡλίου καὶ σελήνης. Ἡ δὲ φιλοσοφία διδάσκει ἡμᾶς τὴν τῶν ὄντων γνῶσιν καὶ παρέχει ἡμῖν ὁμοιοῦσθαι τῷ Θεῷ κατὰ τὸ ἔφικτον ἀνθρώπῳ.

53 Πρακτικαὶ δέ εἰσιν αἱ λεγόμεναι βάναυσοι καὶ χειρονακτικαὶ ἐκτὸς λόγου. Καὶ τούτων αἱ μὲν λέγονται ἀποτελεσματικαὶ ὡς ἡ χαλκευτικὴ καὶ ναυπηγικὴ καὶ οἰκοδομική, αἱ δὲ λέγονται μονοσύστατοι, αἵτινες καὶ ἐκτὸς τῆς ὕλης ἀποτελοῦνται ὡς .........., αἱ δὲ λέγονται αὐτοσύστατοι, ὡς ἡ ὀρχηστικὴ καὶ αὐλητική. Αὗται γὰρ καθ' ὃν χρόνον γίνονται, ἔχουσι κριτήν, μετὰ δὲ τὸ γενέσθαι οὐκ εἰσίν, αἱ δὲ λέγονται ὁμοιωματικαὶ ὡς ἡ ζωγραφικὴ καὶ ἡ

ἀνδρειαντοπλαστικὴ διὰ τὸ ὁμογραφεῖν τὰς φύσεις τῶν ὄντων, αἱ δὲ λέγονται κτητικαί, ὡς ἡ ἁλιευτικὴ ἡ ἰξευτικὴ καὶ ἡ κυνηγετική, διὰ τὸ κτᾶσθαι τὸ τῆς θήρας· αἱ δὲ λέγονται μικταί, ὅσαι καὶ λόγῳ καὶ πράξει κατορθοῦνται ὡς ἡ ἰατρική· λόγῳ μὲν κατορθοῦνται, ὡς ὅταν λέγῃ τὰς αἰτίας τῶν παθῶν· ἔργῳ δὲ κατορθοῦται, ὡς ὅταν χειρουργῇ. Διὸ καὶ τὴν γραμματικὴν μικτὴν λέγομεν, λόγῳ μὲν κατορθουμένην, ὡς ὅταν διδάσκῃ τὴν δύναμιν τῶν συλλαβῶν καὶ τῶν λέξεων· πράξει δὲ κατορθουμένην, ὡς ὅταν γράφῃ τὰ τῶν συλλαβῶν καὶ τῶν λέξεων διὰ καλάμου. Εἰσὶ δὲ καὶ ἄλλα εἴδη τούτων· τὸ τεχνοειδές, τὸ ἡμιτέχνιον, ἡ μικροτεχνία, ἡ ψευδοτεχνία, ἡ κακοτεχνία, ἡ ματαιοτεχνία καὶ ἡ ἀτεχνία. Καὶ τεχνοειδὲς μέν ἐστιν ἡ διαστικὴ τῶν ἀραχνῶν καὶ ἡ κηροπλαστικὴ τῶν μελισσῶν. Ἡμιτέχνιον δέ ἐστιν ἡ κουρευτικὴ καὶ ἐξωνυχιστική. Μικροτεχνία δέ ἐστιν ἡ μυρεψική. Σκευάζει δὲ ἐμπάστρους καὶ σχηματίζεται τὴν τῶν ἰατρῶν τέχνην.

54 Ψευδοτεχνία δέ ἐστιν ἡ τῶν τερατοποιῶν ὡς ἐπί τινος ποιήσαντος χαλκοῦν ἅρμα καὶ ἀναβάτην ἑλκόμενον ὑπὸ μυίας· τοῦτο γὰρ ψευδοτεχνία· οὐ γὰρ ἀπὸ τέχνης ἀλλ' ὑπὸ ἐνεργείας δαιμόνων ταῦτα ἐργάζεται. Κακοτεχνία δέ ἐστιν ἡ κυβευτικὴ καὶ ἡ ὀρχηστική. Ματαιοτεχνία δέ ἐστιν ἧς ὁ πόνος πολὺς καὶ τὸ ἀποτέλεσμα εἰς οὐδὲν χρήσιμον, ὡς ἐπὶ τοῦ εἰδέναι πολλὰς ὀπὰς ποιεῖν ἐν κόκκῳ κέγχρου. Ἀτεχνία δέ ἐστιν ἡ αὐτοτεχνὴς ἀταξία, δι' ἧς καὶ πταιστὴν τὴν τέχνην νομίζουσί τινες, εἰ καὶ οὐχ οὕτως ἔχει· ἡ γὰρ ἀτεχνία τῶν καμνόντων ποιεῖ αὐτὴν λέγεσθαι καὶ ἀταξίαν. Ἀναγκαῖον δὲ πρὸ τῆς καθόλου πάσης βίβλου εἰσβολῆς τὰ ἓξ κεφάλαια ταῦτα ζητεῖν, ὄντα καὶ αὐτὰ ἀναγκαῖα· ἐπιγραφήν, συγγράφειαν, σκοπόν, χρήσιμον, τάξιν καὶ τέλος. Ἐπιγραφὴν μέν, ἵνα [ὅταν] εὑρόντες ἐπιγραφὴν λέγουσαν περὶ ὀνομάτων, μὴ ζητῶμεν περὶ ῥημάτων· ἐπειδὴ εὑρίσκομεν συγγραφὴν περὶ ὀνομάτων· ἆρα ἔχει καὶ ἀλλαχοῦ περὶ ῥημάτων· συγγραφέα δέ, ἵνα καταλάβωμεν τὸ ἀξιόπιστον τοῦ συγγραψαμένου καὶ τὸ γνήσιον τῆς συγγραφῆς αὐτοῦ. Εἰσὶ γὰρ πολλὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἡ Ἀσπὶς Ἡσιόδου, ἥτις οὐκ ἔστιν Ἡσιόδου, ἀλλ' ἑτέρου τινός, ὃς ἐχρήσατο ἐπιγραφῇ καὶ ὀνομασίᾳ Ἡσιόδου, ἵνα τὸ ποίημα κριθῇ ἄξιον ἀναγνώσεως διὰ τῆς ἀξιοπιστείας τοῦ ποιητοῦ Ἡσιόδου. Διὰ τοῦτο ζητῶμεν τὸν συγγραφέα, ἵνα δυνηθῶμεν καταλαβεῖν, ἢ ἀληθεπίγραφόν ἐστι τὸ βιβλίον, ἢ οὐχί. Σκοπὸν δέ, ἵνα τὴν ὁρμὴν καταλάβωμεν τοῦ συγγραψαμένου. Ἔστι δὲ σκοπὸς ψυχῆς προκατάληψις καὶ προτύπωσις, προτυπούσης τὸ προτεθὲν ἐκ μεταφορᾶς τῶν τοξοτῶν, οἵτινες πρότερον μὲν στοχάζονται τὸν τόπον, ὅποι βούλονται τὸ βέλος πέμπειν, εἶτα τοξεύουσι, κατὰ τὸν ὅμοιον τρόπον τοῦτον καὶ οἱ συγγραφεῖς καὶ οἱ ποιηταὶ σκοπὸν καταβάλλουσι τῷ οἰκείῳ συγγράμματι καὶ ποιήματι, εἶθ' οὕτω γράφουσι.

55 Χρήσιμον δέ, ἵνα μάθωμεν, εἰ βιωφελής ἐστιν ἡ συγγραφή· τάξιν δέ, εἰ κατὰ τάξιν καὶ εὐτάκτως σύγκειται τὸ γράμμα· τέλος δέ, εἰ προηνέγκατο ὁ ποιητὴς ἢ ὁ συγγραφεὺς τὰ τοῦ σκοποῦ εἰς τέλος. Πολλοὶ γὰρ ὁρμήσαντες συγγράψαι τι καὶ μὴ δυνηθέντες εἰς τέλος ἐλθεῖν, ἀλλ' ἐν μέσῳ τοῦ καμάτου γενόμενοι ἀπεπνίγησαν ὥσπερ ἐπὶ κλύδωνος θαλάσσης τῷ μεγέθει τοῦ ἐγχειρήματος. Ἔχει δὲ ταῦτα τὰ ἓξ κεφάλαια καὶ ἡ παροῦσα συγγραφή· ἐπιγραφὴν μέν· περὶ τῶν ὀκτὼ τοῦ λόγου μερῶν· συγγραφέα δὲ ......, σκοπὸν δὲ τὸ πρὸς εἰσαγομένους γράψαι καὶ διδάξαι· χρήσιμον δέ, ὅτι διὰ τῶν ὀκτὼ τοῦ λόγου μερῶν καὶ τῆς τούτων ἐναρμονίου συμπλοκῆς τὸ εὖ λέγειν καὶ τὸ εὖ γράφειν παιδευόμεθα, ὅπερ ἐστὶ κατόρθωμα τῆς γραμματικῆς τέχνης· τάξιν δέ, ὅτι εὐτάκτως ἐστὶ συγκειμένη πᾶσα ἡ διδασκαλία τῆς γραμματικῆς· πρῶτον μὲν περὶ ὀνόματος, ὅτι ἐστὶν οὐσία, δεύτερον περὶ ῥήματος, ὅτι ἐστὶ συμβεβηκός· τρίτον περὶ μετοχῆς, ὅτι μετέχει τῶν δύο, ὀνόματός φημι καὶ ῥήματος, ἃ ὤφειλον προταχθῆναι καὶ τὸ μετέχειν αὐτῶν εὐθὺς εἶναι καὶ τὰ λοιπὰ κατὰ τάξιν· τέλος δέ, ὅτι ἐξέρχεται τὰ τῆς ὑποθέσεως καὶ τὰ τοῦ σκοποῦ μεχρὶ συμπεράσματος. Ἰστέον δέ, ὅτι ἄλλοι μὲν ἤρξαντο ἀπὸ φωνῆς, ἄλλοι δὲ ἀπὸ συλλαβῆς, ἄλλοι δὲ ἀπὸ λέξεως καὶ ἄλλοι ἀπὸ γραμματικῆς. Τί ἔστι γραμματική;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμπειρία τῶν λεγομένων εἰς ἐπιτοπολὺ παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν· ἢ τέχνη ἐστὶν ἡ γραμματικὴ θεωρητικὴ καὶ λογικὴ διδάσκουσα ἡμᾶς τὸ εὖ λέγειν καὶ τὸ εὖ γράφειν.

56 Καὶ γὰρ οὐ πᾶς ὁ γράφων ἢ ὁ ἀναγινώσκων λέγεται γραμματικός, ἀλλ' ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούς. Τί ἔστιν ἐμπειρία; ἡ πολλάκις τοῦ αὐτοῦ πράγματος δοκιμασία καὶ γνῶσις. Τίνες λέγονται ποιηταί; οἱ τὰ ἔμμετρα γράψαντες. Τίνες λέγονται συγγραφεῖς; πάντες οἱ τὰ πεζὰ γράψαντες. Τί δὲ λέγεται τῶν λεγομένων ὡς ἐπιτοπολύ; ἤγουν τῶν εὑρισκομένων ὡς ἐπιτοπλεῖστον. Πόσα μέρη τῆς γραμματικῆς; ἕξ. Πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν, ἤγουν ἡ συνήθης καὶ δεδοκιμασμένη κατὰ τόνους, κατὰ χρόνους, κατὰ πνεύματα καὶ κατὰ πάθη· δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους. Τί ἔστιν ἐξήγησις; ἡ τοῦ ἑξῆς ὁδήγησις, τουτέστιν ἡ τοῦ νοήματος ἀκολουθία. Τί ἔστι κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους; ἤγουν τοὺς ὄντας, καὶ ποιηταῖς ἁρμόζοντας· τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις, ἤγουν τῶν διαλέκτων καὶ διηγημάτων ἕτοιμος ἀπόκρισις· τέταρτον ἐτυμολογίας εὕρεσις· ἐτυμολογία δέ ἐστιν ἀνάπτυξις λέξεων, δι' ἧς τὸ ἀληθὲς σαφηνίζεται· ἔτυμον γὰρ τὸ ἀληθές· πέμπτον· ἀναλογίας ἐκλογισμός. Τί ἔστιν ἀναλογία; ἡ παράδοσις τῶν ὁμοίων· ἀνάλογον γάρ ἐστι τὸ Αἴας Αἴαντος τῷ Θόας Θοάντος. Τί ἔστιν ἐκλογισμός; ἡ ἀκριβὴς διόρθωσις· ἕκτον· κρίσις ποιημάτων, τουτέστι τῶν ἐμμέτρως γεγραμμένων ποιημάτων. Πόσα ὄργανα τῆς γραμματικῆς; τέσσαρα· γλωσσηματικόν, ἱστορικόν, μετρικὸν καὶ τεχνικόν. Πόσα θεωρούμενα κατὰ τὴν γραμματικήν; ὀκτώ· αἴτιον, ἀρχή, ἔννοια, ὕλη, μέρη, ὄργανα, ἔργα καὶ τέλος.

57 Τί τὸ ὑποκείμενον τῆς γραμματικῆς; Ἑλληνισμός· ἤγουν ἑλληνίδες φωναί. Τί ἔστι φωνή; πλῆξις ἀέρος ἢ ἀὴρ πεπληγμένος. Πόσα ὄργανα φωνητικά; τρία· γλῶσσα, ὀδόντες καὶ χείλη. Τίς ἀρχὴ τῆς γραμματικῆς; Ἀποριῶν τῶν περὶ αὐτῆς ἀντιστοίχων συζήτησις καὶ χρόνων καὶ πνευμάτων βαρβαρισμοῦ τε καὶ σολοικισμοῦ. Τί τὸ τέλος τῆς γραμματικῆς; τὸ μηδέποτε ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν, μήτε περὶ πλείονας. Τί ἔστιν ἀνάγνωσις; κατὰ μὲν φιλοσόφους ἡ τῶν πρώτων μαθημάτων ἀναγνώρισις τῆς ψυχῆς· κατὰ δὲ γραμματικοὺς ἡ δευτέρα γνῶσις· πρώτη γάρ ἐστιν ἡ τῶν συλλαβῶν γνῶσις· εὑρίσκομεν δὲ τὴν ἀνά πρόθεσιν σημαίνουσαν τὸ ἐκ δευτέρου, οἷον γνῶναι τὸ πρώτως γνῶναι καὶ ἀναγνῶναι τὸ δευτέρως γνῶναι. Καὶ ἄλλως· ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. Ποιήματα μέν εἰσι τὰ ἐμμέτρως γεγραμμένα, συγγράμματα δὲ τὰ ἀμέτρως γεγραμμένα· ἀδιάπτωτος προφορά ἐστιν ἡ ἀδιάπταιστος προένεγξις καὶ γνῶσις. Πόσα εἴδη τῆς ἀναγνώσεως; τρία· ὑπόκρισις, προσῳδία, διαστολή. Τί ἔστιν ὑπόκρισις; ἡ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων μίμησις ἢ διὰ σώματος ἢ διὰ φωνῆς. Τί ἔστι προσῳδία; τόνος φωνῆς κατὰ ἀναλογίαν διαλέκτου κατορθούμενος. Τί ἔστι διαστολή; διανοίας ὁλοκλήρου περιτομὴ ἢ ἐλαχίστη σιωπὴ λόγου ἐπιφερομένου, ἢ διάστημα δύο λόγων βραχύτατον. Πόσοι τρόποι τῆς ἀναγνώσεως; πέντε· ἀναλογία, ἐτυμολογία, συναλοιφή, διάλεκτος, ἱστορία. Τί ἔστιν ἀναλογία; ἡ τῶν ὁμοίων παράθεσις· Τί ἔστιν ἐτυμολογία; ἀνάπτυξις λέξεων ἁρμόζουσα τὴν φωνὴν πρὸς τὴν τοῦ ὑποκειμένου πιθανότητα. Τί ἔστι συναλοιφή; συνέλευσις καὶ συμφωνία δύο συλλαβῶν εἰς μίαν συλλαβήν, τῆς τελευταίας συλλαβῆς φυλαττομένης, τῆς δὲ πρώτης ἀφανιζομένης.

58 Τί ἔστι διάλεκτος; ἰδίωμα γλώττης. Τί ἔστιν ἱστορία; ἀφήγησις πράξεως παλαιῶν ἀνδρῶν. Πῶς χρὴ ἀναγιγνώσκειν. Χρὴ δὲ ποιεῖν τὴν ἀνάγνωσιν καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν καὶ κατὰ διαστολήν. Τί ἔστι τὸ ἀναγιγνώσκειν καθ' ὑπόκρισιν; ἤγουν κατὰ μίμησιν. Τί ἔστι τὸ ἀναγιγνώσκειν κατὰ προσῳδίαν; ἤγουν κατὰ τοὺς ἀκριβεῖς τόνους. προσῳδία γὰρ ὁ τόνος. Καὶ δεῖ τὸν νέον ἀρχῆθεν κατορθοῦν τὴν ἀνάγνωσιν κατὰ προσῳδίαν καὶ τόνον. Τί ἔστι κατὰ διαστολὴν ἀναγιγνώσκειν; ἤγουν κατὰ στιγμήν· ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως δηλοῦμεν τὴν ἀρετὴν τῶν ἀναγιγνωσκομένων· ἐκ τῆς μιμήσεως μὲν γὰρ ἐνάρετα δείκνυνται τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναγιγνωσκόμενα· ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην δηλοῦμεν τοῦ ἀναγιγνώσκοντος· ἐκ τοῦ παραφυλάττειν τοὺς τόνους, τοὺς χρόνους, τὰ πνεύματα καὶ τὰ πάθη ὁρῶμεν τοῦ ἀναγιγνώσκοντος τὴν τέχνην· ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν δηλοῦμεν· λέγεται δὲ διαστολὴ στιγμὴ ἐνδιαστέλλουσα τὰς ἀναγιγνωσκομένας λέξεις ἀπὸ τῶν ἐπιφερομένων λέξεων καὶ στοιχεῖα διαχωρίζουσα ἀπὸ τῶν στοιχείων οἷον· ἔστιν, ἄξιος· καὶ ἔστι, Νάξιος· ἤγουν ἐκ τῆς Νάξου νήσου· ὅθεν καὶ ἐκ τῆς διαστολῆς δηλοῦμεν τὸν περιεχόμενον νοῦν, δηλονότι τὸν ὄντα νοῦν καὶ ἐγκείμενον τῷ συγγράμματι. Ἀναγιγνώσκομεν δὲ τὰ μὲν ἡρωϊκὰ ἡρωϊκῶς, ἤγουν μεγαλοφώνως· τὰς δὲ κωμῳδίας βιωτικῶς, ἤγουν κατὰ μίμησιν τοῦ βίου· ἔστι δὲ κωμῳδία μίμησις πράξεως καθαρτικῶν παθημάτων καὶ τοῦ βίου συστατικὴ τυπουμένη δι’ ἡδονῆς καὶ γέλωτος· οἷα ἡ τοῦ Ἀριστοφάνους ἢ τοῦ Μενάνδρου.

59 Καὶ ἡ μὲν κωμῳδία τὸν βίον συνίστησιν, ἡ δὲ τραγῳδία διαλύει· τὰ δὲ ἐλεγεῖα λιγυρῶς ἀναγιγνώσκομεν· ἐχρῶντο τοῖς ἐλεγείοις ἐπὶ τοὺς θρήνους· ἐλέγους γὰρ ἐκάλουν τοὺς θρήνους οἱ παλαιοί. Εἴρηται δὲ τὸ ἐλεγεῖον ἀπὸ τοῦ αἴ αἴ καὶ ἐπαινεῖν ἐπιταφίους τοὺς τεθνηκότας. Διαφέρει δὲ ἐλεγεῖον ἐλεγείας· ὅτι τὸ μὲν ἐλεγεῖον εἷς ἐστι στίχος πεντάμετρος· ἐλεγεία δὲ ἔστι τὸ ὅλον ποίημα ἔχον ἀμοιβαῖον τὸ μέτρον, καὶ πεντάμετρον καὶ ἑξάμετρον. Ἀναγιγνώσκονται δὲ ταῦτα λιγυρῶς· ἤγουν ὀξέως καὶ συμπεπνιγμένως καὶ ἐμπεπληγμένως, δηλοῦντος τοῦ τοιούτου σχήματος τὸ πλῆθος τῶν κακῶν. Αἱ γὰρ λῦπαι στενούμεναι ὑπὸ τῶν παθῶν ὀξεῖαν φωνὴν ἀφιεῖσι διὰ τὸν πόνον. Ἔπος λέγεται πᾶς στίχος ἰαμβικὸς καὶ τροχαϊκὸς καὶ ἀναπαιστικὸς καὶ δακτυλικὸς καὶ οἱῳδήποτε ποδὶ μετρούμενος· κατ’ ἐξοχὴν δὲ καὶ ὑπεροχὴν τὸ ἡρωϊκὸν μέτρον ἔπος καλεῖται. Εἴρηται δὲ ἔπος παρὰ τὸ ἕπεσθαι καὶ ἀκολουθεῖν. Τὰ δὲ ἔπη τὰ ἡρωϊκὰ εὐτόνως ἀναγιγνώσκομεν· ἤγουν συμφώνῳ φωνῇ, καὶ μὴ ἐκλελυμένῃ, μετὰ δυνάμεως διὰ τὸ περιέχειν αὐτὰ ἡρώων πρόσωπα, Τί ἔστι ποίησις λυρική; ἥτις οὐ μόνον ἐμμέτρως γέγραπται ἀλλὰ καὶ μετὰ μέλους· διὸ οὐδ’ ὁ στίχος κεῖται ἐν τῇ στοιχήσει τέλειος ἀλλὰ μέχρι τοῦ ἀπηχήματος τῆς λύρας στίζει τὴν ὁρμήν, ὡς ὁρᾷς τὰ τοῦ Πινδάρου συγκεκομμένως ἐκφερόμενα. Φασὶ γάρ τινες, ὅτι λύρα εἴρηται οἱονεὶ λύτρα· ὅτι ὁ Ἑρμῆς ὑπὲρ τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος χελώνην ἐκδήρας καὶ κατασκευάσας λύραν ἔδωκε τῷ Ἀπόλλωνι ὑπὲρ τῆς εἰρημένης κλοπῆς. Τὰ λυρικὰ μὲν ἀναγιγνώσκομεν ἐμμελῶς, τουτέστι μετὰ τοῦ προσήκοντος μέλους· τοὺς δὲ οἴκτους γοερῶς καὶ ὑφειμένως.

60 Ἔστι δὲ οἶκτος ἐλεεινολογία καὶ ὀλοφυρμός· ὅθεν καὶ χρὴ τὰ τοιαῦτα ἀναγιγνώσκειν γοερῶς, ἤγουν θρηνωδῶς καὶ ὑφειμένως, τουτέστι κεχαλασμένως καὶ ταπεινῶς. τὰ γὰρ ἀναγνώσματα τὰ μὴ γινόμενα οὕτως ὡς ἐδηλώθη καὶ τὰς τῶν ποιητῶν ἀρετὰς σμικρύνει καὶ τοὺς αἰνουμένους ἄνδρας ἥρωας ἐντελίζει. Φαίνεται δὲ πρὸς τούτοις καὶ ἡ ἕξις τοῦ ἀναγιγνώσκοντος καταγέλαστος τουτέστιν ἡ μάθησις καὶ ἡ διδαχὴ καὶ ἡ γνῶσις. Ἔστι δὲ τόνος ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν εὐφωνίαν ἔχουσα· ἡ ἐναρμονίου φωνῆς ἀπήχησίς ἐστιν ὁ ἦχος, ἡ προφορά, ἡ ἐκφώνησις. Ἔστι δὲ ἐναρμόνιος φωνὴ ἡ συγκειμένη ἐξ ὀξείας καὶ βαρείας καὶ περισπωμένης, οἵα ἐστὶ τοῦ ἀνθρώπου καὶ πᾶσα ἡ μιμουμένη τὴν ἀνθρωπίνην φωνήν, ὡς ἡ κιθάρα, τὸ ὄργανον, ἢ σύριγξ. Ἔστι δὲ ἐναρμόνιος φωνὴ ἐγγράμματός τε καὶ ἔναρθρος· φασὶ δέ, ὅτι τέσσαρές εἰσι διαφοραὶ τῶν φωνῶν· ἐναρμόνιος ἐγγράμματος ὡς ἡ τῶν ἀνθρώπων φωνή· ἐναρμόνιος ἀγράμματος ὡς ὁ τῶν ἀνθρώπων στεναγμός· ἐναρμόνιος ἐγγράμματος ὡς ἡ τοῦ ψιττακοῦ φωνή· ἐναρμόνιος ἀγράμματος ὡς ἡ τῶν προβάτων βληχή. Εἰσὶ δὲ τοῦ τόνου τρεῖς ἀπηχήσεις· ἡ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἡ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἡ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ. Ἀνάτασις μέν ἐστιν ὁ ἐπιτεταγμένος καὶ ὀξύτονος φθόγγος· ὁμαλισμὸς δέ ἐστιν ὁ μετὰ ἀνέσεως γενόμενος βαρὺς φθόγγος. Περὶ προσῳδίας.

61 Τί ἔστι προσῳδία; ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη μετά τινος τῶν συνεζευγνυμένων περὶ μίαν συλλαβὴν ἤτοι κατὰ συνήθειαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαλέκτου ὁμολογουμένη ἢ κατὰ ἀναλογητικὸν ὅρον καὶ λόγον. Καὶ ἄλλως· προσῳδία ἐστὶ διαφορὰ ἐν ταῖς λέξεσι φθόγγου· καὶ ἄλλως· προσῳδία ἐστὶ τόνος, πρὸς ὃν ᾄδομεν καὶ τὴν φωνὴν εὐρυτέραν ποιοῦμεν. Καὶ ἄλλως· προσῳδία ἐστὶ τὸ κροῦσμα τὸ ἐν τῇ ἐκφωνήσει γιγνόμενον. Καὶ ἄλλως· προσῳδία ἐστὶ τόνος φωνῆς κατὰ διάλεκτον ἢ κατὰ ἀναλογίαν κατορθούμενος. Ἔστι δὲ ποιὰ ἡ πεποιημένη φωνή· ἤγουν ἢ ὀξύτονός ἐστιν ἢ βαρύτονος ἢ περισπωμένη. Τάσις ἐστὶν ἡ ἀνάτασις καὶ ἅπλωσις τοῦ τόνου. —Εἴρηται δὲ ἡ προσῳδία παρὰ τὸ προσᾴδειν καὶ ἁρμόζειν τῇ ὑποκειμένῃ λέξει. Καὶ ἄλλως· ἐκ τοῦ εἴδω, ὃ σημαίνει τὸ γινώσκω καὶ μετὰ τοῦ α ἐπιτατικοῦ μορίου ἀείδω, ἤγουν τὸ λίαν γινώσκω, ἀφ᾽ οὗ ἀοιδή καὶ κράσει τοῦ αο εἰς ω μέγα, μένοντος καὶ τοῦ ι προσγεγραμμένου, ᾠδή καὶ μετὰ τῆς πρός προθέσεως προσῳδία. Ἰστέον δέ, ὅτι δύο σημαίνει τὸ τῆς ὀρθογραφίας ὄνομα· ἔστι γὰρ ὀρθογραφία λέξις ἡ ὀρθῶς γεγραμμένη· ἔστι καὶ ὁ κανὼν ὁ ἀποδεικτικὸς τῆς ὀρθῶς γεγραμμένης λέξεως, οἷον ἐὰν γράψω· ταχεῖα· διὰ τῆς ει διφθόγγου, αὕτη ἡ λέξις ἡ γραφεῖσα ὀρθῶς ὀρθογραφία καλεῖται· καὶ ἐὰν ἐρωτηθῶ τὴν αἰτίαν τῆς γραφῆς καὶ εἴπω τὸν κανόνα, ὅτι τὰ ἀπὸ τῶν εἰς υς ληγόντων ἀρσενικῶν θηλυκὰ παρεσχηματισμένα διὰ τοῦ εια διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ταχύς ταχεῖα, ὠκύς ὠκεῖα, ἡδύς ἡδεῖα, ὀξύς ὀξεῖα· αὐτὸς ὁ κανὼν ὀρθογραφία καλεῖται. Εἰσὶ δὲ τῆς ὀρθογραφίας εἴδη τρία· σύνταξις, ποιότης καὶ ποσότης.

62 Σύνταξις μέν ἐστιν, ὅταν ζητῶμεν, ποίᾳ συλλαβῇ συντάξωμεν τὰ στοιχεῖα· οἷον ἐν τῷ ἀσθενής, πότερον τὸ ς κτητικόν ἐστι τῆς ἀ συλλαβῆς ἤγουν τῆς πρώτης, ἢ τῆς θε, ἤγουν τῆς δευτέρας, τουτέστιν ἀς λέγομεν ἢ ἀ—σθε, τῆς πρώτης ἐστὶ ληκτικὸν ἢ τῆς δευτέρας ἀρκτικόν. Ποσότης δέ ἐστιν, ὅταν ζητῶμεν ἐν τῷ μῖσμος (sic) ἢ μῖσος, πόσα εἰσὶ στοιχεῖα, μετὰ τοῦ Ι ἢ ΜΕΙ διὰ διφθόγγου. Ποιότης δέ ἐστιν, ὅταν ζητῶμεν, ποῖον στοιχεῖόν ἐστι γεγραμμένον ἐν τῷ ἔμπορος, τὸ Μ ἢ τὸ Ν. Καὶ ταῦτα μέν εἰσι τὰ εἴδη τῆς ὀρθογραφίας. Εἰσὶ δὲ καὶ κανόνες τῆς ὀρθογραφίας τέσσαρες· ἀναλογία, διάλεκτος, ἐτυμολογία καὶ ἱστορία. Καὶ τὴν μὲν ἀναλογίαν κατορθοῦμεν, ὅταν κανόνα ἀποδῶμεν ὥσπερ ἐδηλώσαμεν ἐπὶ τοῦ ταχεῖα. Διάλεκτον δὲ κατορθοῦμεν, ὅταν τὸ ἡμεῖς διὰ τῆς ΕΙ διφθόγγου γράφοντες εἴπωμεν, ὅτι οἱ Δωριεῖς ἅμεες λέγουσι καὶ ἡμεῖς τὸ περισσὸν Ε συναιροῦντες δίφθογγον ἐποιήσαμεν. Ἐτυμολογίαν δὲ κατορθοῦμεν, ὅταν τὸ ἤπειρος διὰ τοῦ η τὴν πρώτην συλλαβὴν καὶ διὰ διφθόγγου τὴν δευτέραν γράφοντες εἴπωμεν· ἄπερος τίς ἐστιν ἡ γῆ, ἤγουν μὴ ἔχουσα πέρας, τροπῇ δὲ τοῦ Α εἰς Η καὶ πλεονασμῷ τοῦ Ι ἤπειρος. Ἱστορίαν δὲ κατορθοῦμεν, ὅταν τὸ χίλια διὰ τοῦ Ι γράφοντες εἴπωμεν· οὕτως αὐτὸ γράφεσθαι βούλεται ἡ παράδοσις. Τριῶν μὲν ὄντων τῶν εἰδῶν τῆς ὀρθογραφίας, ὡς ἔφαμεν, πρῶτόν ἐστιν ἄξιον εἰπεῖν περὶ τοῦ πρώτου εἴδους, ἤγουν περὶ συντάξεως. Ἐὰν σύμφωνον μεταξὺ δύο φωνηέντων ἐν μιᾷ λέξει ᾖ, τῷ δευτέρῳ ἀκολουθεῖ· οἷον ἄγω, φέρω, χῆνα, ἀλώπηξ. Ἐὰν δὲ μὴ εἴη μία ἡ λέξις ἀλλὰ δύο, πάθῃ δὲ τὸ πρῶτον φωνῆεν ἔκθλιψιν, τὸ σύμφωνον ἐκεῖνο τὸ πρὸ τῆς ἀποστρόφου, συνάπτεται τῷ ἐπιφερομένῳ φωνήεντι, οἷον κατὰ ἐμοῦ, κατ᾽ ἐμοῦ, κατὰ ἐκείνου, κατ᾽ ἐκείνου.

63 Οὐδέποτε συλλαβὴ λήγει εἰς δασύ· ὅθεν τοῦ Βάκχος ἡ πρώτη συλλαβὴ εἰς ψιλὸν λήγει, εἰς Κ καὶ οὐκ εἰς δασὺ τὸ Χ. Ἀφ᾽ οὗ φθάσει ἐν ἀρχῇ λέξεως σύμφωνον συμφώνου προηγήσασθαι οὐκ ἔτι αὐτοῦ χωρίζεται κἂν ἐν μέσῳ λέξεως εὑρεθῶσιν, οἷον σθένος· ἐνταῦθα γοῦν φθάσαν προηγήσατο τὸ Σ τοῦ Θ ἐν ἀρχῇ λέξεως· ἀλλ᾽ οὐ χωρίζεται αὐτοῦ κἂν ἐν μέσῳ λέξεως εὑρεθῶσιν, ὡς ἐν τῷ Δημοσθένης, Ἀντισθένης· εἴπομεν δὲ ἐν ἀρχῇ λέξεως· ἐπειδὴ αἱ ἐπὶ τέλους συλλαβαὶ αἱ καταλήγουσαι εἰς δύο σύμφωνα, οἷον ἅλς, οὐκέτι εἰσὶ κατὰ σύλληψιν κἂν ἐν μέσῳ λέξεως εὑρεθῶσιν. Ἰδοὺ γὰρ τὸ ἅλς ἔχει ἐν τῷ τέλει τὸ Λ καὶ τὸ Σ κατὰ σύλληψιν, ἀλλ᾽ ἐν τῷ ἁλσί διεμερίσθησαν καὶ διέστησαν ἀπ᾽ ἀλλήλων. Διὰ ταῦτα οὖν ὡς εἴπομεν· ἀφ᾽ οὗ φθάσει ἐν ἀρχῇ λέξεως σύμφωνον συμφώνου προηγήσασθαι τὸ μὲν πρόσφατον κατὰ διάστασίν ἐστιν, ἤγουν τὸ Σ μετὰ τῆς πρός καὶ οὐ μετὰ τῆς φα · τὸ δὲ δυσάρετον κατὰ σύλληψιν. Ἐν τῷ

πεποιηκυῖα, μεμηκυῖα, ἅρπυια, υἱός καὶ ἐν τοῖς ὁμοίοις οὐκ ἦν διάστασις τοῦ Υ καὶ Ι· τὰ γὰρ εἰς Α θηλυκά, ἀρσενικοῖς παρεσχηματισμένα ἰσοσυλλαβοῦσι τῇ γενικῇ τοῦ ἀρσενικοῦ, οἷον μέλας μέλανος μέλαινα, ὀξύς ὀξέος ὀξεῖα, πεποιηκώς πεποιηκότος πεποιηκυῖα. Περὶ ποιότητος. Τὸ σμίλιον, Σμύρνα καὶ τὰ τούτοις ὅμοια διὰ τοῦ Σ γραπτέον οὐ διὰ Ζ· τὰ γὰρ διπλᾶ οὐδέποτε προτάσσονται ἢ ὑποτάσσονται, εἰ μὴ ἐν καταλήξει μερῶν λόγου, οἷον Σφίγξ, σάρξ. Πᾶσα συλλαβὴ εἰς Ν λήγουσα, ἐὰν συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ Β ἢ Π [ἢ Φ] ἢ Μ ἢ Ψ τρέπει τὸ Ν εἰς Μ, οἷον σύμβιος, ἔμπορος, συμμορία, σύμφωνα, σύμψηφος.

64 Πᾶσα συλλαβὴ εἰς Ν λήγουσα ἐὰν συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ Γ ἢ Κ ἢ Χ ἢ Ξ τρέπει τὸ Ν εἰς Γ, οἷον ἐγγύη, ἐγκέφαλος, συγχέω, συγξενίζω. Πᾶσα συλλαβὴ εἰς Ν λήγουσα ἐὰν συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ Λ ἢ Ρ εἰς αὐτὰ τρέπει τὸ Ν, οἷον συλλαβή, συῤῥάπτω. Ἡ σύν πρόθεσις ἐπιφερομένου τοῦ Ζ ἐν ἑνὶ μέρει λόγου τελείως ἀποβάλλει τὸ Ν, οἷον συζυγία, συζητῶ. Ἡ σύν πρόθεσις ἐπιφερομένου τοῦ Σ ἐν ἑνὶ μέρει λόγου τρέπει τὸ Ν εἰς Σ, οἷον σύσσιτος· ἔστιν ὅτε καὶ ἀποβάλλει αὐτὸ τὸ Σ, οἷον συστρατιώτης, συστρατηγός. Ἡ ἔξ πρόθεσις, οἷον ἂν σύμφωνον αὐτῇ ἐπιφέρεται εἴτε καθ' ἓν μέρος λόγου εἴτε κατὰ δύο, τρέπει τὸ Ξ εἰς Κ, οἷον ἐκ Βαβυλῶνος, ἐκ δυσμῶν, ἐκ Ῥώμης, ἔκπαλαι, ἔκπωμα. εἰ δὲ φωνῆεν αὐτῇ τῇ ἔξ ἐπιφέροιτο, φυλάττεται τὸ Ξ καὶ οὐ τρέπεται· ἐξ ἀνατολῶν· ἐξ οἰκείου. Πᾶσα πρόθεσις συγκοπὴν πάσχουσα τοῦ ἐσχάτου φωνήεντος τὸ καταλειπόμενον σύμφωνον, ἂν μὴ εἴη Ν, πρὸς τὸ ἐπιφερόμενον σύμφωνον τρέπει, οἷον κατανεῦσαι καννεῦσαι· καταβάλλειν καββάλλειν· ἀποβάλλουσα ἀββάλλουσα· ἀπόβασκε ἄββασκε· εἰ δὲ τὸ Ν εἴη κατὰ τὰ ἐπιφερόμενα σύμφωνα μεταβάλλεται κατὰ τὴν προειρημένων τεχνολογίαν. Ἡ κατά συγκοπὴν ὑπομένουσα, ἐὰν ἔχῃ ἀπαγόμενον δασύ, μεταβάλλει τὸ Τ εἰς τὸ ψιλόν, τὸ ἀντίστοιχον τοῦ ἐπαγομένου δασέος. Διότι οὐ δύναται συλλαβὴ καταλῆξαι εἰς δασύ· οἷον καταθανεῖν κατθανεῖν, καταφάλαρα καπφάλαρα, καταχεῦσαι κακχεῦσαι· ἂν δὲ ἡ κατά πρόθεσις συγκοπὴν ὑπομένῃ, ἐπάγοιτο δὲ δύο σύμφωνα καὶ ἕνι ἐξ αὐτῶν τὸ ἀμετάβολον, ἤγουν τὸ δεύτερον· τότε τὸ Τ τῆς προθέσεως αὐτῆς τρέπεται πρὸς τὸ ἐπαγόμενον σύμφωνον· οἷον καταδρῶσα καδδρῶσα.

65 Τὸ στράγξ, σφίγξ, λύγξ ἔδει διὰ τοῦ Ν γράφεσθαι, ὅτι πᾶσα λέξις λήγουσα εἰς δύο σύμφωνα τὸ ἕτερον ἔχει ἀμετάβολον, οἷον, τίρυνς, ἅλς, σάρξ· ἀλλ' εἴπομεν, ὅτι τὸ Ν, ὅτε ἐπάγοιτο τὸ Γ ἢ τὸ Κ ἢ τὸ Χ ἢ τὸ Ξ εἰς Γ τρέπεται· ὅθεν οὖν ἀναγκαίως καὶ διὰ τοῦ Γ γράφονται· τὸ ἐχθρός διὰ τοῦ ΧΘ γραπτέον· ὥσπερ γὰρ παρὰ τὸ ψῦχος γίνεται ψυχρός, οὕτω καὶ παρὰ τὸ ἔχθος γίνεται ἐχθρός. Περὶ ποσότητος. Τὰ εἰς ον λήγοντα συγκριτικὰ δισύλλαβα, διφθόγγῳ παραλήγονται· οἷον πλεῖον, μεῖον, ῥᾷον· εἰ δὲ εἴη ὑπὲρ δύο συλλαβάς, τῷ Ι παραλήγονται· οἷον βράδιον, βέλτιον· πλὴν τοῦ χέρειον, ἄμεινον· τὸ γὰρ ἄμεινον ἀπὸ τοῦ μεῖον δισυλλάβου γίνεται πλεονασμῷ τοῦ Ν καὶ προσθέσει τοῦ Α. Πᾶν ῥῆμα εἰς Ν λῆγον ἐν πρώτῳ προσώπῳ τὰ ἴσα φωνήεντα τηρεῖ καὶ ἐν τῇ ληγούσῃ καὶ ἐν τῇ παραληγούσῃ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ. Πᾶν ἀπαρέμφατον δίφθογγον ἔχει κατὰ τὴν τελευταίαν συλλαβὴν πλὴν τοῦ ζῆν. Πᾶν εὐκτικὸν δίφθογγον ἔχει κατὰ τὴν παραλήγουσαν. Τὰ διὰ τοῦ ιδιον ὑποκοριστικά, ἐὰν ἔχωσιν ἀπὸ πρωτοτύπου φωνῆς τὸ Ε, διφθόγγῳ παραλήγονται· οἷον γλυκείδιον ἀπὸ τῆς γλυκέος γενικῆς, καὶ φυσείδιον ἀπὸ τῆς φύσεως γενικῆς. Τὰ διὰ τοῦ ος ὑποκοριστικά, ἐὰν ἔχωσιν ἀπὸ πρωτοτύπου φωνῆς τὸ Ε διφθόγγῳ παραλήγονται. Τὰ διὰ τοῦ ῳος κτητικὰ διφθόγγῳ παραλήγονται, οἷον κῷος, μινῷος· οἷς ἠκολούθησε καὶ τὸ σῷος.

66 Αἱ εἰς ΣΙ λήγουσαι ἐκτεταμέναι δοτικαὶ, εἰ μὲν ἔχουσιν ἓν Σ διφθόγγῳ παραλήγονται· οἷον καλοῖσι, σοφοῖσι, Ἀτρείδαισιν (sic)· εἰ δὲ δύο ΣΣ ἔχουσιν, ἑνὶ φωνήεντι παραλήγονται· οἷον θήρεσσι, πάντεσσι. Πᾶν ὄνομα δικατάληκτον δίφθογγον οὐκ ἔχει, οἷον ῥίν καὶ ῥίς, δελφίν καὶ δελφίς, ἀκτίν καὶ ἀκτίς. Τὰ διὰ τοῦ ιτης παρώνυμα διὰ τοῦ Ι γράφεται, οἷον Μεμφίτης, πολίτης, τοπίτης, Ναυκρατίτης πλὴν τοῦ Ἁλείτης (sic), Ἀταρνείτης, Ζηλείτης, Ὡρείτης (sic) καὶ

Σαμαρείτης. Τὰ διὰ τοῦ ινος βαρύτονα διὰ τοῦ Ι γράφεται· οἷον ξύλινος, δερμάτινος, Κρατῖνος, Ἀκραγαντῖνος. Τὰ μέντοι εἰς νος ὀξύτονα παρώνυμα διὰ τῆς ΕΙ διφθόγγου γράφεται, οἷον ἐλεεινός, ὀρεινός, φωτεινός. Ὅσα δὲ σημαίνει καιρὸν διὰ τοῦ Ε γράφεται, οἷον χειμερινός, θερινός, ἐαρινός, μετοπωρινός. Τὸ ταχινός δὲ καὶ ἀληθινός οὐκ εἰσὶ παρώνυμα, ἀλλ' ἐξ ἐπιῤῥήματος, ἤγουν τοῦ τάχα καὶ ἄληθες. Τὰ διὰ τοῦ ινη θηλυκὰ διὰ τοῦ Ι γράφεται, ὑσμίνη, αἰτνίη (sic), θριδακίνη, ἡρωΐνη, ῥωδακίνη (sic) καὶ ἀδραστίνη. Τὰ δὲ διὰ τοῦ ισιος διὰ τοῦ Ι γράφονται· οἷον Χαρίσιος, ἀφροδίσιος πλὴν τοῦ ἀρκείσιος, σιμοείσιος. Τὰ εἰς ις θηλυκὰ διὰ τοῦ Ι γράφονται, οἷον λέξις, Θέτις, μῆνις πλὴν τοῦ κλείς καὶ ἀντήρεις (sic). Τὰ ἀπὸ τῶν εἰς ευς παρηγμένα, εἴτε πατρωνυμικά εἰσιν εἴτε κτητικὰ διὰ τῆς ει διφθόγγου γράφονται, οἷον Ἀτρείδης, Πηλείδης, Ὀδύσσειος, Ἀχίλλειος· ἀπὸ δὲ τοῦ Ζεύς Διὸς οὐκ ἔστι τὸ κτητικὸν διὰ διφθόγγου· διότι οὐκ ἐφυλάχθη τὸ Ε ἐν τῇ γενικῇ, οἷον Ζεύς Διός. Τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν συνῃρημένων παρηγμένα θηλυκὰ διὰ τοῦ εια, εἰ μὲν προπαροξύνονται διὰ τοῦ ει γράφονται, οἷον ἀναίδεια ἀπὸ τοῦ ἀναιδής, εὐγένεια ἀπὸ τοῦ εὐγενής, συνήθεια ἀπὸ τοῦ συνήθης.

67 Εἰ δὲ παροξύνονται διὰ τοῦ Ι γράφονται, οἷον ἀμαθία. Τὰ διὰ τοῦ εια παρώνυμα δίφθογγον ἔχουσιν, οἷον τῆς Πηνελόπης Πηνελόπεια, καὶ ἀπὸ τοῦ χαλκόβαρυς χαλκοβάρεια. Τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων παρηγμένα θηλυκὰ διὰ τοῦ εια δίφθογγον ἔχουσιν, οἷον ἀπόλω ἀπώλεια, μήδω Μήδεια, θέρω θέρεια, σαφῶ σάφεια. Τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν ἔχοντα ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ Ι ἢ τὸ Υ διὰ τοῦ Ι ἔχουσι τὴν πρώτην ὡς ἐπιτοπλεῖστον, οἷον Ἶρις, δριμύς, πίτυς, βριθύς, ἰχθύς. Τὰ διὰ τοῦ ειω βαρύτονα παρ' ἐνεστῶτος ἢ μέλλοντος παρηγμένα τὴν ει δίφθογγον ἔχουσιν, οἷον ὄψω ὀψείω, βρώσω βρωσείω, ἅτινα καὶ ἐφεκτικὰ λέγονται. Τὰ διὰ τοῦ ειον κτητικὰ προπερισπώμενα δίφθογγον ἔχουσιν, οἷον τεκτονεῖον, μουσεῖον, κουρεῖον, βαλανεῖον, ὡρεῖον. Πᾶσα γενικὴ εἰς ος λήγουσα διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικὸν καὶ ἔχει τὸ Ι βραχύ, οἷον Πέλοψ Πέλοπος Πελοπίδης. Κέκροψ Κέκροπος Κεκροπίδης. Ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται γεννῶνται τὸ Ο, τὸ Ε προεῖχον ἐν τῷ ἐνεστῶτι οἷον πλέκω, ὅτι πλόκος, ἀμείβομαι ὅτι ἀμοιβή. Τὰ εἰς ων συγκριτικὰ μεταβαίνοντα εἰς ὑπερθετικὰ εἰ μὲν δισύλλαβά εἰσι τηροῦσι τὴν παραλήγουσαν αὐτῶν καὶ ἐν τοῖς ὑπερθετικοῖς, οἷον πλείων πλεῖστος, ῥᾴων ῥᾷστος· εἰ δὲ ὑπὲρ δύο συλλαβάς, οὐδαμῶς, οἷον ἀρείων ἄριστος, χερείων χείριστος, πλὴν τοῦ βελτίων βέλτιστος καὶ καλλίων κάλλιστος. Τὰ διὰ τοῦ ια θηλυκὰ παρηγμένα ἀπὸ τῶν εἰς ος ἀρσενικῶν διὰ τοῦ Ι γράφονται, οἷον κακός κακία, ἀργός ἀργία, ῥάθυμος ῥαθυμία.

68 Τὰ παρὰ τὸ γῆρας συγκείμενα ἔχοντα ἐπὶ τέλους τὸ Ω διὰ τοῦ Ω μεγάλου γράφονται, οἷον ὑπέργηρως, κακόγηρως, καλόγηρως. Τὰ παρὰ τὸ γῆρας συγκείμενα καὶ μέσον ἔχοντα τὸ Ω διὰ τοῦ Ω μεγάλου γράφονται, οἷον γηρωκόμος, γηρωβοσκός, γηρωβοσκεῖον. Τὸ δὲ γηροτρόφος καὶ γηροτροφῶ καὶ γηροτροφεῖον καὶ ἁπλῶς, ἐφ' ὅσων εἰσὶ τοῦ ο ἔμπροσθεν δύο σύμφωνα, διὰ τοῦ Ο μικροῦ γράφεται. Τὰ δὲ παρὰ τὸ κρέας συγκείμενα διὰ τοῦ Ω μεγάλου γράφονται, οἷον πολύκρεως· ὁμοίως καὶ τὰ ἐν μέσῳ ἔχοντα τὸ Ω, οἷον κρεωφάγος, κρεωπώλης, κρεωδαισία καὶ τὰ ὅμοια. Τὰ παρὰ τὸ κέρας συγκείμενα ἅπαντα διὰ τοῦ Ω μεγάλου γράφονται οἷον μονόκερως, ὑψίκερως, εὔκερως· ὁμοίως καὶ τὰ ἐν τῷ μέσῳ ἔχοντα τὸ Ω, οἷον κερωφόρος, κερώεις κερώεσσα θηλυκόν. Τὰ παρὰ τὸ γέλως διὰ τοῦ Ω μεγάλου γράφονται, οἷον φιλόγελως, κλαυσίγελως, ἀκρατόγελως, κατάγελως· κατάγελος δὲ ὁ τόπος ὁ ἔχων ἀγέλας διὰ τοῦ Ο μικροῦ. Τὰ παρὰ τὸ ἔρως διὰ τοῦ Ω μεγάλου γράφεται, οἷον δύσερως, κάκερως, μίσερως, πολύερως· ὁμοίως καὶ τὰ ἐν μέσῳ ἔχοντα τὸ Ω, οἷον ἐρωτικός, ἐρωτομανής, ἐρωτόεις καὶ ἐρώεις. Τὰ παρὰ τὸ λεώς συγκείμενα διὰ τοῦ Ω μεγάλου γράφεται, οἷον Ἰόλεως, Νικόλεως· ὁμοίως καὶ τὰ ἐν μέσῳ ἔχοντα τὸ Ω, οἷον λεωφόρος, Λεωκράτης, λεωνίκης, λεωγόρος. Οὕτω καὶ τὰ παρὰ τὸ νεώς

οἷον νεωκόρος. τὰ παρὰ τὸ πλέον συγκείμενα διὰ τοῦ Ω μεγάλου γράφονται οἷον ἔμπλεως, ἀνάπλεως, περίπλεως. Ὁμοίως καὶ τὰ θηλυκὰ οἷον ἡ ἔμπλεως, ἡ περίπλεως.

69 Ὁμοίως καὶ τὰ οὐδέτερα· πλεονέκτης δὲ μικρόν. Τὰ δὲ παρὰ τὸ χρέος διὰ τοῦ Ο μικροῦ οἷον ἀξιόχρεος, ὑπόχρεος· ἀττικῶς δὲ διὰ τοῦ Ω μεγάλου. Ὁμοίως καὶ τὰ ἐν μέσῳ ἔχοντα τὸ Ο, οἷον χρεολύτης· πλὴν τῶν κατὰ συναλοιφὴν γινομένων, οἷον χρέος ὀφειλέτης χρεωφειλέτης καὶ χρεωστῶ καὶ χρεώστης. Τὰ παρὰ τὸ γαῖα συγκείμενα καὶ δηλοῦσι γῆς ποιότητα διὰ τοῦ Ε ψιλοῦ γράφεται καὶ διὰ τοῦ Ω μεγάλου, οἷον εὔγεως, λυπρόγεως, ψαμμόγεως, χρυσόγεως, λεπτόγεως, μεσόγεως, ὑπόγεως· ὅσα δὲ οὐ σημαίνουσι ποιότητα γῆς διὰ τῆς αι διφθόγγου καὶ διὰ τοῦ Ο μικροῦ γράφεται οἷον ὑπόγαιος, ἀνάγαιος, κατάγαιος· οἷς ἠκολούθησε καὶ τὸ ἐνοσίγαιος· ἀνώγεων δὲ καὶ κατώγεων ψιλὸν καὶ μέγα. Τὰ διὰ τοῦ ια ὀνόματα ἐπὶ ἑορτῶν λεγόμενα διὰ τοῦ Ι γράφεται οἷον Ἀπατούρια, Ἀρτοφόρια, Βουφόνια, Διάσια, Ἐλευσίνια, Θαλύσια, Θεσμοφόρια, Ἴσια, Κρόνια, Ποσειδόνια, Τιτάνια, Ὑακίνθια, Ὀσχοφόρια πλὴν τοῦ Αἰάκεια, Κυδωνίδεια, Ἀντιγόνεια, Δημήτρεια, Διόμεια, Διϊπόλεια, Ἡράκλεια, Ἡφαίστεια, Θήσεια, Πανάκεια, Φιλωταίρεια. Ταῦτα γὰρ διὰ τῆς ΕΙ διφθόγγου γράφονται· γίνωσκε δέ, ὅτι Ἀσκληπίαια ἑορτὴ τοῦ Ἀσκληπίου διφθογγογραφεῖται. Τὰ διὰ τοῦ ια οὐδέτερα ἐπὶ ἀγώνων λεγόμενα διὰ τοῦ Ι γράφεται, οἷον Δήλια· ἔστι δὲ ἀγὼν τελούμενος ἐν τῇ νήσῳ Δήλῳ· Πύθια· ἀγὼν τελούμενος ἐν τῇ Πυθοῖ τῆς Φωκίδος· Ἴσθμια ἀγὼν τελούμενος ἐν τῷ Ἰσθμῷ· Ὀλύμπια, ἀγὼν τελούμενος ἐν τῇ Πίσῃ τῆς Ὀλυμπίας, πλὴν τοῦ Νέμεια. Νέμεα γάρ ἐστι καὶ πλεονασμῷ τοῦ Ι Νέμεια. Ἦν δὲ τὰ Νέμεια ἀγὼν τελούμενος ἐν τῇ Νεμείᾳ (sic). Ἀχυρμιά τὸ ἄχυρον τὸ κείμενον ἐν τῇ ἁλῶνι· ἁρμαλιά ἡ τροφή, ἡ συνδεσμοῦσα καὶ συναρμόζουσα τὰ μέλη.

70 Τὰ ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν θηλυκὰ γινόμενα διὰ τοῦ εια προπαροξύνονται καὶ διὰ τῆς ει διφθόγγου γράφονται, οἷον Ἀμασσεύς Ἀμάσσεια· Ἀλεξανδρεύς Ἀλεξάνδρεια· Ἀντιοχεύς Ἀντιόχεια· Ὀδυσσεύς Ὀδύσσεια· Χαιρωνεύς Χαιρώνεια. Ὅσα σύγκειται ἐκ τοῦ γαῖα διὰ τῆς ΕΙ διφθόγγου γράφονται, οἷον εὔγειος, ἐπίγειος, πρόσγειος, ἔγγειος ὁ ἐν τῇ γῇ. Ἔγγιον δὲ τὸ πλησίον Ι. Τὰ εἰς νος ὀξύτονα παρώνυμα μὲν ὄντα διὰ τοῦ βραχέος Ι ἐκφέρονται, οἷον πεδινός, ἀδινός, πυκινός, ταχινός, ἀληθινός. Τὰ διὰ τοῦ υχω διὰ τοῦ Υ ψιλοῦ γράφονται, οἷον ψύχω, τρύχω, σμύχω, βρύχω, ὃ σημαίνει τὸ σφίγγω τοὺς ὀδόντας, πλὴν τοῦ οἴχω καὶ στοίχω. Τὰ εἰς ιδιον ὑποκοριστικὰ ἀπὸ τῶν εἰς Α ἢ εἰς Η θηλυκῶν γινόμενα διὰ τοῦ Ι γράφονται οἷον μοῖρα μοιρίδιον ἑταῖρα ἑταιρίδιον, κλίνη κλινίδιον, πόρνη πορνίδιον. Ὁμοίως καὶ τὰ γινόμενα ἀπὸ τῶν εἰς ος οὐδετέρων, οἷον ξίφος ξιφίδιον. Οὕτω καὶ νῆσος νησίδιον. Ὅσα δὲ γίνονται ἀπὸ τῶν εἰς ΙΣ θηλυκῶν διὰ τοῦ εως ποιοῦνται τὴν γενικὴν τὴν ΕΙ δίφθογγον ἔχουσιν ἐπὶ τῆς προπαραληγούσης, οἷον θνῆσις θνήσεως θνησείδιον, δάμαλις δαμάλεως δαμαλείδιον, κτῆσις κτήσεως κτησείδιον, τάξις τάξεως ταξείδιον, λέξις λέξεως λεξείδιον. Τὰ διὰ τοῦ ιον ὑποκοριστικὰ εἴτε παροξύτονα εἴτε προπαροξύτονα, διὰ τοῦ Ι γράφονται, οἷον βιβλίον, θηρίον, ἀκάτιον, γραμμάτιον, τὸ γράμμα, γραμματεῖον δέ, ἐν ᾧ τὰ γράμματα γράφονται. Οὕτω καὶ διδασκάλιον τὸ μάθημα, διδασκαλεῖον δέ, ἐν ᾧ τὰ μαθήματα ἑρμηνεύονται· ἀνθρώπιον, ἀργύριον.

71 Τὰ εἰς ειον διὰ τῆς διφθόγγου γράφονται, οἷον κυκλώπειον, φοινίκειον, κηρύκειον, ὁ μισθὸς τοῦ κήρυκος, κηρύκιον δέ, ἡ ῥάβδος τοῦ Ἑρμοῦ ιον. Ἰστέον δέ, ὅτι ὅτε μὲν ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, τότε ἡ παραγωγὴ διὰ τοῦ ιδιον γίνεται, καὶ ἡ τρίτη συνεσταλμένη τυγχάνει, οἷον γνώμη γνώμης γνωμίδιον, ψυχή ψυχῆς ψυχίδιον, ξίφος ξίφους ξιφίδιον· ὅτε δὲ ἀπὸ φωνήεντος ἄρχεται, τότε διὰ τοῦ ειδιον γίνεται ἡ παραγωγὴ καὶ ἐκτείνεται ἡ τρίτη συλλαβή, οἷον γραφεῖον γραφείου γραφείδιον καὶ τὰ ὅμοια. Καὶ εἰ εὑρέθη τὸ Ε ἢ τὸ Ο εἰς Ι μετατρέπεται, οἷον πόλεως πολίδιον, βοός βοΐδιον. Τὰ εἰς ηγος καὶ ηλος καὶ ηρος διὰ τοῦ Η γράφεται οἷον ὁδηγός, στρατηγός, χαμηλός, ὑψηλός, μιμηλός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πηλός, πλὴν τοῦ χιλός νεογιλός ὁ νεωστὶ τεχθεὶς καὶ ψιλός, ἅτινα διὰ τοῦ Ι γράφεται, τὸ δειλός διὰ διφθόγγου καὶ χυλός διὰ τοῦ Υ ψιλοῦ. Καὶ πάλιν πονηρός, ζωηρός, ὀκνηρός, ξηρός, καματηρός, πηρός διὰ τοῦ Η πλὴν τοῦ κιῤῥός, σιῤῥός ὁ λάκκος, καὶ ἱρός, ἅτινα διὰ τοῦ Ι γράφεται· τὸ πυρός δὲ διὰ τοῦ Υ ψιλοῦ. Τὰ εἰς οια παρὰ τὸ νοῦς καὶ ῥοῦς καὶ χροῦς καὶ πλοῦς καὶ βοῦς γινόμενα διὰ τῆς Ο Ι διφθόγγου γράφονται, οἷον εὔνοια, εὔροια, εὔχροια, εὔπλοια, εὔβοια. Διατί τὰ περισπώμενα βαρύτονα καλοῦνται; διότι τὰ παροξύτονα καὶ τὰ προπαροξύτονα καὶ τὰ προπερισπώμενα βαρύτονά εἰσι δυνάμει. Τὰ διὰ τοῦ ΙΣΣΩ ἀπὸ μέλλοντος ἐν διπλασιασμῷ τοῦ Σ μετενηνεγμένα εἰς ἐνεστῶτα διὰ τοῦ Ι γράφονται, οἷον ἴω τὸ προτείνω, ὁ μέλλων ἴσω καὶ ἐν διπλασιασμῷ τοῦ Σ μετάγεται εἰς ἐνεστῶτα ἴσσω· οὕτω καὶ τὸ λίτω λίσω καὶ λίσσω ἐνεστώς, πτίω πτίσω καὶ πτίσσω ἐνεστώς, οἷς ἠκολούθησε καὶ τὸ φίσσω.

72 Τὰ διὰ τοῦ ια παροξύτονα θηλυκὰ ἐκτείνουσι μὲν τὸ Α, συστέλλουσι δὲ τὸ Ι, οἷον κοιλία, καρδία, σωτηρία, προσῳδία καὶ ἕτερα. Τὰ δὲ προπαροξύτονα συστέλλουσι τὸ Α, οἷον ψάλτρια, αὐλήτρια. Καὶ τὰ παραληγόμενα τῇ ΕΙ διφθόγγῳ τὸ Α συστέλλουσιν, οἷον εὐσέβεια, μεῖρα. Τὰ διὰ τοῦ οα δισύλλαβα ἔχοντα πρὸ τοῦ οα τὸ ρ ἢ τὸ π ἢ τὸ ψ διὰ τοῦ Ο μικροῦ γράφονται καὶ βαρύνονται· οἷον χρόα, πόα, ψόα· εἰ τῇ ΟΙ διφθόγγῳ γράφονται, ὀξύνονται· χροιά, ῥοιά, ποιά. Τὰ διὰ τοῦ αινω διὰ τῆς αι διφθόγγου· οἷον ποιμαίνω, ξηραίνω, μιαίνω πλὴν τοῦ σθένω, μένω, πένω, στένω. Τὰ διὰ τοῦ ιω περισπώμενα διὰ τοῦ Ι γράφονται, οἷον· ἀνιῶ, κοπιῶ, ἐρυθριῶ, πλὴν τῶν ἐχόντων ἀπὸ φωνῆς πρωτοτύπου τὴν ΕΙ δίφθογγον, ὡς τὸ γενειῶ ἀπὸ τοῦ γένειον, καὶ βρενθειῶ ἀπὸ τοῦ βρένθειον καὶ τελειῶ ἀπὸ τοῦ τέλειον καὶ μειῶ ἀπὸ τοῦ μεῖον. Τὰ δὲ διὰ τοῦ ηθω διὰ τοῦ Η γράφονται οἷον γήθω, νήθω, λήθω, ἤθω τὸ σακελλίζω πλὴν τοῦ βρίθω, ὃ σημαίνει τὸ βαρῶ. Τὰ διὰ τοῦ υφω διὰ τοῦ Υ ψιλοῦ γράφονται· οἷον γλύφω, στύφω, τύφω. Τὸ ἔχω καὶ τὰ τούτῳ ὅμοια, ἡνίκα πλεονάσῃ σύμφωνον, εἰς Ι τρέπεται τὸ καταρχὰς Ε, ἢ προτακτικὸν ὂν ἢ ὑποτακτικόν, οἷον ἔχω ἴσχω, μένω μίμνω, τέκω τίκτω, ῥέπω ῥίπτω. Τὰ διὰ τοῦ υσσω διὰ τοῦ Υ ψιλοῦ γράφονται, οἷον νύσσω, μύσσω, πλύσσω, κηρύσσω, ὀρύσσω.

73 Τὰ διὰ τοῦ υζω διὰ τοῦ Υ ψιλοῦ γράφονται, οἷον κλύζω, τρύζω, γογγύζω, ὀλολύζω πλὴν τοῦ ἀθροίζω. Τὰ διὰ τοῦ υχω δισύλλαβα, μὴ ἀπὸ ὀνόματος γινόμενα διὰ τοῦ Υ ψιλοῦ γράφονται, οἷον τρύχω, σμύχω, βρύχω, πλὴν τοῦ οἴχω. Τὰ διὰ τοῦ ειος ὀνόματα ὑπερδισύλλαβα προπερισπώμενα ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ Α ἐπαγόμενα δύο σύμφωνα ἢ καὶ πλείονα διὰ τῆς ΕΙ διφθόγγου γράφονται, οἷον Ἀργεῖος, Βακχεῖος, ἀστεῖος, ἀνδρεῖος, Καδμεῖος. Τὰ διὰ τοῦ αιρω δισύλλαβα καὶ ὑπερδισύλλαβα διὰ τῆς ΑΙ διφθόγγου γράφονται, οἷον χαίρω, αἴρω, μαρμαίρω. Τὰ διὰ τοῦ ωθω διὰ τοῦ Ω μεγάλου γράφονται οἷον κλώθω, βρώθω, πρώθω, πλὴν τοῦ ὄθω, ὃ σημαίνει τὸ ἐπιστρέφομαι. Τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν εἰς εια γινόμενα θηλυκά, εἰ μέν εἰσι προπαροξύτονα διὰ τῆς ΕΙ διφθόγγου γράφονται, οἷον ἀναιδής ἀναίδεια, ἀληθής ἀλήθεια, εὐσεβής εὐσέβεια· εἰ δὲ παροξύτονα διὰ τοῦ Ι, οἷον ἀναιδία. Τὰ διὰ τοῦ ιον οὐδέτερα προπαροξύτονα μὴ σημαίνοντα μέρος σώματος μηδὲ μετουσιαστικὰ μηδὲ κτητικὰ διὰ τοῦ Ι γράφονται πλὴν τοῦ γένειον, δάνειον, ὄστρειον. Τὰ οὐδέτερα τὰ λήγοντα εἰς ον καθαρὸν μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς τῷ Ι μόνῳ παραληγόμενα εἴτε κύρια εἴτε προσηγορικὰ εἴτε ὑποκοριστικὰ προπαροξύνονται καὶ διὰ τοῦ Ι γράφονται, οἷον κωδώνιον, αὐχένιον, τελώνιον, δαιμόνιον, θυσιαστήριον, οἰνοπώλιον, διαβούλιον, λυτήριον πλὴν τοῦ καδμεῖον καὶ βακχεῖον· πρόσκειται μονογενῆ διὰ τὸ ἐναντίον τριγενὲς ὂν καὶ παροξύνεται· πρόσκειται τῷ Ι μόνῳ παραληγόμενα διὰ τὸ γραφεῖον, ἀρνεῖον· πρόσκειται κύρια διὰ τὸ σκαμνίον, κλυδίον.

74 Περὶ ἐπιῤῥημάτων. Τὰ εἰς βι καὶ γι λήγοντα ἐπιῤῥήματα διὰ τοῦ Ι γράφονται, οἷον ἀστραβί, ἀκριβί, ἀλαβί, ἀμιγί, ἀτρυγί πλὴν τοῦ ἀκριβῆ καὶ ἀθηγῆ. Τὰ εἰς δει διὰ διφθόγγου γράφονται, οἷον ἀκηδεί, ἀσπουδεί, ἀφειδεί πλὴν τοῦ προκληδί, πασσηδί (sic), ἐνθαδί, τοιαδί, ταδί, ὡδί, πλὴν τοῦ κομιδῆ καὶ ἀσπουδῆ καὶ δηλαδή. Τὰ εἰς δην διὰ τοῦ Η γράφονται, οἷον ἄρδην,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φοράδην, φύρδην, πλουτίνδην, παμπήδην, ἀριστίνδην, βάδην, ἀνέδην, πλὴν τοῦ πρίν, πάλιν, ἔμπαλιν, ἀνόπιν, κατόπιν. Τὰ εἰς δις διὰ τοῦ Ι γράφονται οἷον χαμάδις· τὰ καθαρισείοντες διὰ τῆς ΕΙ διφθόγγου γράφονται, οἷον ἀθεεί, αὐτοβοεί, ᾀεί (sic), πλὴν τοῦ πρωΐ. Τὰ εἰς εψ (sic) καὶ ζε διὰ τοῦ Ε ψιλοῦ γράφονται, οἷον τηρώκεψ (sic), χαμάζε. Τὰ εἰς ζη διὰ τοῦ Η γράφονται, οἷον πεζῇ· τὰ διὰ τοῦ ηθεν διὰ τοῦ Η γράφονται, οἷον Πιερίηθεν, ἀρχῆθεν πλὴν τοῦ ἐκεῖθεν. Τὰ εἰς θει διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ἀμαθεί, ἀμοχθεί, ἀπαθεί πλὴν τοῦ αὐτόθι, οἴκοθι, ἕωθι, ἐκεῖθι. Τὰ εἰς κι διὰ τοῦ Ι γράφονται, οἷον πανοικί, πλὴν τοῦ ἐκεῖ, εἰκῆ, αὐταρκῆ. Τὰ εἰς κτι διὰ τοῦ Ι γράφονται, οἷον ἀσκαρδαμυκτί, ἀνοιμωκτί. Τὰ εἰς λει διὰ διφθόγγου γράφονται, οἷον ἀδουλεί, ἀβουλεί, ἀμέλει πλὴν τοῦ ἀσφαλῆ.

75 Τὰ εἰς μει διὰ διφθόγγου γράφονται, οἷον πανδημεί, ἀτρεμεί, νηνεμεί πλὴν τοῦ μηδαμή (sic), οὐδαμή (sic). Τὰ εἰς νι διὰ τοῦ Ι γράφονται οἷον προταινί, ἀθρονί ἤγουν χωρὶς θρόνου, νηποινί πλὴν τοῦ ἀπαιγνεί, πανθοινεί, οἱονεί, ὡσανεί, τηνεί, ἀντὶ τοῦ ἐκεῖσε, καὶ πλὴν τοῦ παγγενῆ, πρηνῆ ἀντὶ τοῦ ἐπὶ πρόσωπον, πρινή, κοινῆ, ἀβακχθανῆ, ἀμηχανῆ, ἀκρινῆ τὸ ἄκρον τῆς νηός. Τὰ εἰς ξει διὰ διφθόγγου γράφονται οἷον ἀμαξεί, ἀλεξεί, αὐτολεξεί. Τὰ διὰ τοῦ οθεν τὰ μὲν παροξύνονται διὰ τοῦ Ο μικροῦ γράφονται, οἷον οὐρανόθεν, μακρόθεν· ὁμοίως καὶ τὰ προπαροξύτονα οἷον οἴκοθεν πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἄνωθεν, κάτωθεν, ἔξωθεν. Τὰ εἰς ΟΝ διὰ τοῦ Ο μικροῦ γράφονται πλὴν τοῦ χρεών, ἐμποδών, ἐκδεξιών, ἐξαριστερών, ἐξευωνυμών. Τὰ εἰς πη διὰ τοῦ Η γράφονται· [τὰ εἰς ρει διὰ τῆς ΕΙ διφθόγγου] οἷον ἀσκληρεί, καθαπερεί, ὡσπερεί, ἐνακαρεί, πλὴν τοῦ ἀφαρῆ, ἐναφαρῆ, σταφορῆ (sic), καὶ πλὴν τοῦ ἀωρί, αὐτανδρί, παντολεθρί, αὐτοχειρί, εὐθυρί, δευρί. Τὰ εἰς σι διὰ τοῦ Ι γράφονται, οἷον ἀμουσί πλὴν τοῦ ὡσεί. Τὰ εἰς τι διὰ τοῦ Ι, οἷον ἀκριτί, ἀκλητί, νεωστί, μεληστί, ἀκονητί, ἀμογητί, ἀψοφητί, ἀναιμωτί, ἑλληνιστί πλὴν τοῦ ταύτῃ, πάντη (sic), ἐθελοντί, ἁμαρτῆ, στραβητῆ. Τὰ εἰς ΟΙ διὰ διφθόγγου γράφονται, οἷον Σφιτοῖ, Μεγαροῖ, Πειραιοῖ, ἐνταυθοῖ, πλὴν τοῦ πάνυ, μεταξύ, μεσσηγύ. Τὰ εἰς φι διὰ τοῦ Ι γράφονται οἷον ἶφι, λικριφί.

76 ἔστι δὲ μέτρον τι. πλὴν τοῦ παμψηφεί, ἀστροφεί, ξιφεί. Τὰ εἰς χει διὰ διφθόγγου γράφονται· ἀμαχεί, αὐτονυχεί, ναυμαχεί πλὴν τοῦ ἡσυχῆ, ἁπανταχῆ, ἑκασταχῆ, τριχῆ, πολλαχῆ, ἑξαχῆ, εὐτυχῆ, ἀλλαχῆ, πλὴν τοῦ οὐχί, μονονουχί, παμμαχί, παννυχί καὶ ἧχι ἀντὶ τοῦ ὅπου. Τὰ εἰς ψει διὰ διφθόγγου γράφονται, οἷον αὐτοψεί πλὴν τοῦ ὕψι, ἀντὶ τοῦ ἐφ’ ὕψους. Τὰ εἰς Η λήγοντα ἀπὸ τῶν εἰς ως γινόμενα διὰ τοῦ Η γράφονται οἷον ἑξαχῆ ἀπὸ τοῦ ἑξαχῶς. Τὰ πάσχοντα ἐπέκτασιν διὰ τοῦ Ι γράφονται, οἷον ὡδί, δευρί πλὴν τοῦ οἱονεί, ὡσανεί, ὡσπερεί, καθαπερεί, ὡσεί. Τὰ εἰς τρει καὶ γρει διὰ διφθόγγου γράφονται· οἷον ἄγρει ἀντὶ τοῦ ἄγε. Τὰ εἰς χρι διὰ τοῦ Ι γράφονται, οἷον ἄχρι, μέχρι, πλὴν τοῦ ἀπόχρη. Τὰ εἰς κτι διὰ τοῦ Ι γράφονται, οἷον ἀτακτί, ἀσκαρδαμυκτί πλὴν τοῦ ἀκηρυκτεί. Τὰ εἰς πτι διὰ τοῦ Ι γράφονται, οἷον ἀτρεπτί. Τὰ εἰς δον διὰ τοῦ Ο μικροῦ ἐν τῇ ληγούσῃ καὶ Η ἐν τῇ παραληγούσῃ οἷον σωρηδόν, κωμηδόν, κρουνηδόν πλὴν τοῦ νοσφιδόν, ἀσπιδόν, πληνθιδόν (sic), διακλιδόν, ἀποκριδόν, διακριδόν. Τὰ παρὰ τὸ ἀμφί διὰ τοῦ Ι γράφονται, οἷον ἀμφίβληστρον, Ἀμφίπολις, πλὴν τοῦ ἀμφήριστος, καὶ ἄμφηκες, τὸ ἠκονημένον ξίφος; ἀμφηρεφές τὸ ἐστεγασμένον οἴκημα παρὰ τὸ ἐρέφω, ὅθεν καὶ ὑψηρεφές. Τὰ εἰς στι ἀπὸ τῶν εἰς ζω ληγόντων ῥημάτων γινόμενα διὰ τοῦ Ι γράφονται καὶ τὸ Ι αὐτὸ συστέλλουσιν, οἷον Ἰαστί, δωριστί, ἑλληνιστί, φρυγιστί, μεγαλωστί, νεωστί.

77 Τὸ δὲ ἀκοντί, ἐθελοντί, ἀπευστί ἐκτείνονται. Τὰ εἰς ω διὰ τοῦ Ω μεγάλου γράφονται, οἷον κύκλω, ἄφνω, πόρρω, ἔξω, ἔσω, ἄνω, κάτω, πρόσω· καὶ τὰ σύνθετα, οἷον ἄνωθεν, κάτωθεν, κύκλωθεν· τὸ δὲ πάντοθεν, ἀλλαχόθεν καὶ ἄλλα διὰ τοῦ Ο μικροῦ γράφονται. Τὰ εἰς ις λήγοντα διὰ τοῦ Ι γράφονται, οἷον πολλάκις, ὀλιγάκις, πλειστάκις, δίς, τρίς, μόλις, ἅλις, μέχρις, χωρίς, αὖθις. Πάντα τὰ θετικὰ διὰ τοῦ Ε ψιλοῦ καὶ τοῦ Ο μικροῦ γράφονται οἷον πλευστέον, νοητέον πλὴν τοῦ εὐκταῖον ἀπευκταῖον καὶ τελευταῖον. Πᾶν ἐπίρρημα εἰς Ε λῆγον διὰ τοῦ Ε ψιλοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γράφεται, εἴτε ὀξύνεται εἴτε βαρύνεται, οἷον ποτέ, ὅτε, ὁτέ, ἄλλοτε, πάντοτε, ἔκτοτε, ἑκάστοτε, ἐνίοτε. Τὰ εἰς ιον διὰ τοῦ Ι γράφονται, οἷον βράδιον, τάχιον, ἔγγιον. Τὸ ἤδη, δηλαδή, οὐδή, μή, νή διὰ τοῦ Η γράφονται, καὶ τὸ ἧττον διὰ τοῦ Η. Τὸ αὔριον, μεταύριον, ἡμέριον διὰ τοῦ Ι. Τὰ εἰς Ι διὰ τοῦ Ι γράφονται, οἷον συριστί, ἀρμενιστί, νεωστί, ἀπονητί, ἀλογιστί, ἀμνηστί, ἀμιστί, ἀνθρωπιστί πλὴν τοῦ πνευστεί. Τὰ εἰς τι διὰ τοῦ Ι γράφονται οἷον ἀπονητί, ἀναιμωτί, ἀπολεμητί, ἀμελητί, ἀμετρητί, ἀμαχητί πλὴν τοῦ ἀκηρυκτεί, ἁμαρτεί· ἁμαρτῆ δὲ ἀντὶ τοῦ ὁμοῦ διὰ τοῦ Η. Τὰ εἰς στι διὰ τοῦ Ι γράφονται, οἷον ἱερωστί· ἔτι τὰ εἰς πτι διὰ τοῦ Ι γράφονται ἀμεταστρεπτί, ἀστρεπτί· ἔτι τὰ εἰς κτι ἀστερωκτί, ἀστακτί· ἔτι τὰ εἰς βι ἀλαβί, ἀβλαβί· ἔτι τὰ εἰς νι, νηποινί, προταινί πλὴν τοῦ πανθοινεί διὰ διφθόγγου καὶ παγγενῆ διὰ τοῦ Η.

78 Τὰ εἰς ΕΙ διὰ διφθόγγου γράφονται οἷον εἰ, ἀθεεί, αὐτοβοεί· τὰ εἰς δει διὰ διφθόγγου γράφονται, οἷον ἀσπονδεί, ἀσπουδεί πλὴν τοῦ πανσυδί καὶ προκληδί. Τὰ εἰς γι διὰ τοῦ Ι γράφονται, οἷον ἀτρυγί, ἀπαταγί. Τὰ εἰς θι διὰ τοῦ Ι γράφονται οἷον ἀνεσθί (sic), πλὴν τοῦ ἀμοχθεί καὶ παμπληθεί. Τὰ εἰς λει διὰ διφθόγγου γράφονται, οἷον ἀδμωλεί, παρομιλεί, ἀναυλεί. Τὰ εἰς μει διὰ διφθόγγου οἷον νηνεμεί, ἀναμεί (sic), ἀτρεμεί, πανδημεί, νωνυμί δὲ Ι. Τὸ δὲ μή καὶ οὐδαμῆ Η. Ἔτι καὶ τὰ εἰς ρει, οἷον ἀμετρεί, ἀμερμερεί. Ἔτι τὰ εἰς χει οἷον ἀμαχεί, τριστοιχεί. Αὐτολεξεί, αὐτοψεί· παροκί (sic) δὲ Ι γράφεται. Ἰστέον δέ, ὅτι τὰ μεσότητος ἐπιῤῥήματα πενταχῶς λέγονται· κατ’ ἔπαινον· οἷον καλῶς, σοφῶς· κατὰ ψόγον, οἷον πονηρῶς, ἀσεβῶς· κατὰ μετουσίαν· οἷον ἀνθρωπικῶς· κατὰ ἐναλλαγήν· οἷον ἄλλως· οὕτως· τὰ δέ εἰσιν ἀθροίσεως ὡρισμένου τινός, οἷον πανδημεί, πανσυδί, πανοικί. Τὸ ἔα ἐκπληκτικόν, τὸ πλήν ἐξαιρετικόν, τὸ ὥστε ἀποτακτικόν, τὸ ἐμποδών διακωλυτικόν, τὸ λάθρα ἀποκρυπτικόν· ἀναφανδόν, διαῤῥήδην, ἐμφαντικόν, σχεδόν διαστάσεως. Δάξ, λάξ, πύξ ὀργανικά· δηλονότι, δηλαδή, ἤγουν ἐξηγηματικά· οἷον διασαφητικόν· ἀμωσγέπως, ἀμηγέπη, ὁπωσοῦν, ὁπωσδήποτε, ὁπωσδηποτοῦν ποσότητος ἀορίστου καὶ ποιότητος· σπανίως, ἐλάχιστα, μόγις ἀφαιρετικά· μενοῦνγε ἐκλογῆς· Ἡράκλεις, Ἄπολλον ἀποτρεπτικόν· Ἑλληνιστί καὶ τὰ ὅμοια ἐθνικά· τὸ αἶαν καὶ τὸ αἴας θρηνητικόν· τὸ αἴ ἀντὶ τοῦ αἴθε κατὰ ἀποκοπήν· τὸ αἰβοί σχετλιασμοῦ καὶ χαρᾶς· παπαί ποιποί, ποποί, ἰώ, ἰώ ἰωτώ, ἰτώ ὀξυτόνως προφέρονται κατὰ μίμησιν ὀρνέου φωνῆς.

79 Ὁμοίως καὶ τιό, τιό, τιό. Ὁμοίως καὶ τορό, τορό, τοροτίγξ· ὁμοίως καὶ κικκαβαῦ κικκαβαῦ, τορό τορό τολελύγξ, τιό τιό τίγξ· ποῦ ποῦ ποῦ ἐστι; διὰ τὴν ἐπανάληψιν τὴν σπουδαίαν ζήτησιν ἐμφαίνει· ποῖ ποῖ; ἔχ’ ἀτρέμας· ἐπίσχες τοῦ δρόμου· ποδαπή (sic), εὐράξ, πατάξ ἐπιφθέγματά εἰσι τάχους. Τὸ ὄπ ἐπίῤῥημα παρακελεύσεως ἐπὶ τοῦ παύσασθαί τινος ὑποθέσεως ὡς οἱ κωπηλακεύοντες· τὸ βαβαιάξ, ὤκ, βάτανα, τοῦ φρονήματος· τὸ στριβιλικίγξ ἀντὶ τοῦ οὐδεμίαν ῥανίδα· στρίβος καλεῖται ἡ ὀξεῖα φωνή, λίκιγξ δὲ ἡ λεπτὴ φωνὴ τοῦ ὀρνέου. τὸ ταττά, τατταταί θρῆνοί εἰσι τραγῳδῶν. Τὸ ἰατατάξ τῶν κακῶν καὶ ἰατταταί σχετλιασμοῦ· τὸ ὑπαπαί ἐπιφώνημά ἐστι ναυτικόν· τὸ παπαί ἐπὶ ἵππον· τὸ βαβαί βαβαιάξ σχετλιαστικά. Τὸ ὠεία μίμημα βαρβάρων ἑλκόντων τι. τὸ φύ φύ ἐπὶ τῶν φυσσόντων πῦρ· τὸ σοῦ σοῦ ἐπὶ σιωπῆς· τὸ παπαί παπαιάξ σχετλιασμὸς γερόντων· τὸ αὖ, αὖ μίμημα ὑλακῆς κυνῶν· τὸ ῥυπαπαί, βομβάξ, ἄττατα, τάττεται ἐπὶ τῶν ἀλγούντων· τὸ μύ μύ ἐπὶ τῶν ἠχούντων διὰ μυκτήρων· τὸ ἰαπαπαιάξ, τὸ εὐοῖ, εὐαί, εὐάν ἐπὶ νίκης· καὶ εὐά χωρὶς τοῦ Ν· τὸ ἄ ἄ ἐπίῤῥημα ἐκπλήξεως καὶ κελεύσεως· τὸ ἀβάλε ἐκπλήξεως· τὸ ἤ ἤ σιώπα συγκαταθετικόν· τὸ ἰή ἰή πρόσφθεγμα καταφρονοῦντος· τὸ ἰώ ἰώ, ἰού ἰού ἐπὶ λύπης, τὸ ἰοῦ δὲ ἐπὶ χαρᾶς. Περὶ τῶν ὀκτὼ τοῦ λόγου μερῶν τοῦ αὐτοῦ.

80 Καθάπερ τὸ ἀνθρώπινον σῶμα, φιλολογωτάτη μοι βασιλίδων, ἀπὸ διαφόρων μερῶν καὶ μελῶν συναρμολογεῖται καὶ ἀπαρτίζεται· οὕτω δὴ καὶ ὁ λόγος ἅπας, ὃν διὰ τῶν χειλέων προφέρομεν ἄνθρωποι καὶ ὃν ἐν ταῖς χάρταις γράφοντες ἐντυποῦμεν ἐκ μερῶν τινων συνίσταται καὶ αὐτός, ἅπερ ἀναγκαῖον εἰδέναι πολύτροπον τὸ εἰς γνῶσιν ἐλθεῖν τοῦ λόγου τὸν σπουδάζοντα· πλὴν καθάπερ πάλιν ἐπὶ τῷ ἀνθρώπῳ ἔνεστι μέρη καὶ μέλη καὶ τὰ μὲν ἀναγκαιότερα τῇ φύσει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπαραίτητα, οἷον δήπου κεφαλὴ καὶ πνεύμων καὶ ἧπαρ καὶ ὅλως τὰ ἀναπνευστικὰ καὶ θρεπτικά· τὰ δὲ οὐ τοσοῦτόν εἰσιν ἀναγκαῖα, οἷον ὄνυχες καὶ τρίχες· κεφαλῆς γὰρ μὴ οὔσης πάντως οὐδὲ ἄνθρωπός ἐστι, τῶν δὲ τριχῶν καταῤῥυεισῶν οὐδὲν εἰς τὸ ζῆν ἐκεῖνος βλαβήσεται· οὕτω καὶ τῶν τοῦ λόγου μερῶν ὀκτὼ τῶν ἁπάντων ὄντων· ὀνόματος, ῥήματος, μετοχῆς, ἄρθρου, ἀντωνυμίας, προθέσεως, ἐπιῤῥήματος καὶ συνδέσμου· μόνα τῶν ἄλλων ἀναγκαιότατά εἰσι καὶ σφόδρα γε χρησιμώτατα τὸ ὄνομα καὶ τὸ ῥῆμα. Τὰ δὲ λοιπὰ ἓξ καλὰ μὲν καὶ αὐτὰ πλὴν οὐ τοσοῦτόν εἰσιν ἀναγκαῖα καθάπερ καὶ τὸ ὄνομα καὶ τὸ ῥῆμα. Διότι δίχα μὲν μετοχῆς καὶ ἄρθρου καὶ συνδέσμου καὶ ἐπιῤῥήματος δύναμιν καὶ λόγον ἀκερεῶσαι (sic) καὶ ἔννοιαν αὐτοτελῆ ἀπαρτίσασθαι δυνατὸν μετὰ μόνου τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, οἷον· Ἀρίσταρχος ἦλθεν· ἰδοὺ διὰ τοῦ Ἀριστάρχου ὀνόματος καὶ τοῦ ἦλθε ῥήματος μόνου τὸν λόγου ἀπηρτισάμην, μηδενὸς ἑτέρου τῶν λοιπῶν δεηθείς· δίχα δὲ ὀνόματος καὶ ῥήματος ἀμήχανόν ἐστι λόγον συστῆναί ποτε. Διὰ τοῦτο καὶ ὁ τεχνικὸς περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου διδάξαι προθέμενος ὀλίγα μὲν περὶ μετοχῆς καὶ ἄρθρου καὶ ἀντωνυμίας καὶ προθέσεως καὶ ἐπιῤῥήματος καὶ συνδέσμου ἐφθέγξατο καὶ ταῦτα κατ᾽ ἐπιτομὴν καὶ ἐπειγμένως, περὶ δὲ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος πλατυκωτάτην τὴν διδασκαλίαν εἰργάσατο, πενταχῶς μὲν τὸ ὄνομα διελόμενος κατὰ γένη, καὶ εἴδη καὶ σχήματα καὶ ἀριθμοὺς καὶ πτώσεις, καὶ αὖθις ἕκαστον αὐτῶν ὑποδιελόμενος τὸ μὲν γένος τριχῆ, εἰς τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν καὶ τὸ μέσον αὐτῶν, ὅπερ αὐτὸς οὐδέτερον παρωνόμασεν εἰκότως· οὔτε γὰρ ἀρσενικόν, οὔτε θηλυκόν ἐστι· τὸ δὲ εἶδος εἰς πρωτότυπον καὶ παράγωγον, τὸ δὲ σχῆμα εἰς ἁπλοῦν καὶ σύνθετον καὶ παρασύνθετον, περὶ ὧν ἐν τοῖς προσήκουσι τόποις διατρανώσομέν σοι σαφέστερον, τὸν δὲ ἀριθμὸν εἰς ἓν καὶ δυάδα καὶ πλῆθος, τὴν δὲ πτῶσιν εἰς ὀρθὴν καὶ γενικὴν καὶ δοτικὴν καὶ αἰτιατικὴν καὶ κλητικήν· τὸ δὲ ῥῆμα καὶ αὐτὸ μετὰ πάνυ τεχνικῆς ἀκριβολογίας ἐντέχνως διελὼν εἰς ἐγκλίσεις καὶ διαθέσεις καὶ εἴδη καὶ σχήματα καὶ ἀριθμοὺς καὶ πρόσωπα καὶ χρόνους καὶ συζυγίας, καὶ ἕκαστον αὖθις ὑποδιελὼν τούτων εἰς ὅσα καὶ οἷα πέφυκε διαιρεῖσθαι καὶ τὰς μὲν τῶν συζυγιῶν βαρυτόνους κατονομάσας, τὰς δὲ περισπωμένας, τὰς δὲ εἰς ΜΙ· καὶ τούτων ἄλλας μὲν πρώτας καλέσας ἄλλας δὲ δευτέρας, ἑτέρας δὲ τὴν τρίτην ἢ τὴν τετάρτην τάξιν προσκληρωσάμενος καὶ συνόλως εἰπεῖν πολὺς αὐτῷ καὶ ποικίλος καὶ μετὰ μεθόδου καὶ εὐταξίας ὁδεύων ἀφάτου ὁ περὶ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος ἐκτέθειται λόγος· διὰ τοῦτο σοὶ καὶ ἡμεῖς μικρὰ μὲν περὶ μετοχῆς καὶ ἄρθρου καὶ ἀντωνυμίας καὶ προθέσεως καὶ ἐπιῤῥήματος καὶ συνδέσμου εἴπωμεν, ὥστε μὴ πάντη σε εἶναι τῶν τοιούτων ἀνήκουστον, εἰς δὲ τὴν τοῦ ὀνόματος καὶ ῥήματος εἰσβαλόντες διδασκαλίαν ὑποδείξομέν σοι σαφέστερον καὶ πλατυκώτερον μέθοδόν τινα θαυμαστὴν καὶ εὐταξίαν ἀπόῤῥητον, ἣν ἐν τοῖς ἑαυτοῦ κανόσιν ὁ τεχνικὸς κρυφίως θέμενος τοὺς μὲν ἄλλους οἶμαι διέλαθεν ἄχρι καὶ δεῦρο· ἐμὲ δέ, καὶ τοῦτο οὐ κομπάζων λέγω, οὐμενοῦν διέδρασε· νῦν δὲ τὴν περὶ τούτων τέως ὑπερβάντες διδασκαλίαν περὶ τῶν λοιπῶν ὡς ὑποσχόμεθα μικρά τινα εἴπωμεν.

82 Καὶ πρῶτόν γε περὶ ἄρθρου. Περὶ ἄρθρου. Ἄρθρον οὖν ἐστι μέρος λόγου μονοσύλλαβον, προτασσόμενον καὶ ὑποτασσόμενον εἰς ἀεὶ τῶν ὀνομάτων· ἄρθρον δὲ λέγεται κατ᾽ ἐμὴν κρίσιν ἀπὸ τοῦ ἐνάρθρως ἀποδεικνύειν τὸ γένος τοῦ ὑποκειμένου ὀνόματος οἷόν τι λέγω· ἐὰν εἴπω· ἦλθεν ἄνθρωπος οὐκ ἐδήλωσα τὸ γένος εἴτε ἀρσενικόν ἐστιν εἴτε θηλυκόν. Ἔστι γὰρ ἄνθρωπος ἀρσενικὸν καὶ ἄνθρωπος θηλυκόν· ἐὰν δὲ προσθήσω καὶ τὸ ἄρθρον τὸ ὁ καὶ εἴπω· ἦλθεν ὁ ἄνθρωπος· ἰδοὺ διὰ τοῦ ἄρθρου τὸ γένος ἐδήλωσα, ὅτι ἐστὶν ἀρσενικόν· ἢ ἐὰν εἴπω πάλιν ἡ ἄνθρωπος ἐδήλωσα τὸ γένος, ὅ ἐστι θηλυκόν. Εἰσὶν οὖν ταῦτα τὰ ἄρθρα τοσαῦτα, ὁπόσαι δηλαδὴ καὶ αἱ πτώσεις τῶν ὀνομάτων· εἰσὶ δὲ αἱ πτώσεις τῶν ὀνομάτων τρισκαίδεκα· τρισκαίδεκα ἄρα εἰσὶ καὶ τὰ ἄρθρα· περὶ γὰρ τοῦ ὦ τῆς κλητικῆς, εἴτε ἄρθρον ἐστὶν εἴτε ἐπίῤῥημα, ἐν τῷ παρόντι περιττόν ἐστιν ἀκριβολογεῖσθαι· ὁμοίως δὲ καὶ τὸ περὶ προτακτικῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὑποτακτικῶν ἄρθρων ἀνερευνᾶν οὐ τοῦ παρόντος καιροῦ· τίνα μέντοι τῶν ἀρσενικῶν εἰσιν ἄρθρα καὶ τίνα τῶν θηλυκῶν, καὶ ἄττα τῶν οὐδετέρων καὶ ὅτι πρὸς ἄλληλα κοινωνοῦσι καὶ ποῦ διαφέρουσιν ἰδιαζόντως ἐφ' ἑνὶ ἑκάστῳ γένει τὰ ἴδια ῥηθήσεταί τε καὶ διδαχθήσεται.

83 Περὶ ἀντωνυμίας. Ἡ ἀντωνυμία μέρος ἐστὶ λόγου, λαμβάνεται δὲ ἀντὶ ὀνόματος· διὸ καὶ ἀντωνυμία καλεῖται· εἰσὶ δὲ καὶ ἀντωνυμίαι κυρίως καὶ πρώτως ἐννέα· τρεῖς ἑνικαί, τρεῖς δυϊκαί, καὶ τρεῖς πληθυντικαί· καταχρηστικῶς δὲ πολλαί, περὶ ὧν ἑκάστης διδάξω σε ἀκριβέστατα· τοῦτο δὲ πρῶτον ἀπορρητέον· διὰ τί τρεῖς εἰσιν αἱ ἀντωνυμίαι, ἐπί τε ἑνικῶν ἐπί τε δυϊκῶν ἐπί τε πληθυντικῶν; Καὶ φαμέν, ὅτι διὰ τὸ καὶ τὰ πρόσωπα τρία εἶναι· ὁ γὰρ λέγων ἢ περὶ ἑαυτοῦ λόγον ποιεῖται καὶ ἔστι τοῦτο πρῶτον πρόσωπον· οἷον τὸ λέγω, τὸ γράφω, ἢ περὶ τοῦ ἱσταμένου καὶ ὁμιλοῦντος αὐτῷ. Καὶ ἔστι διὰ τοῦτο δεύτερον πρόσωπον, οἷον τὸ λέγεις καὶ τὸ γράφεις, ἢ περί τινος τῶν ἐκτός, καὶ ἔστι τοῦτο τρίτον πρόσωπον οἷον λέγει καὶ γράφει· ἐπεὶ τοίνυν αἱ ἀντωνυμίαι προσώπων εἰσὶ σημαντικαὶ, τὰ δὲ πρόσωπά εἰσι τρία, διὰ τοῦτο καὶ τρεῖς ἀντωνυμίαι ὑπάρχουσιν ἐπί τε ἑνικῶν καὶ δυϊκῶν καὶ πληθυντικῶν. Ἑνικαὶ μὲν οὖν ἀντωνυμίαι εἰσὶν αὗται· ἐγώ, σύ, ἵ. σημαίνει δὲ ἡ μὲν ἐγὼ τὸ πρῶτον πρόσωπον οἷον ἐγὼ λέγω, ἐγὼ γράφω, ἡ δὲ σύ τὸ δεύτερον, οἷον σὺ ἀκούεις, σὺ μανθάνεις, ἡ δὲ ἵ τὸ τρίτον οἷον ἳ διαλέγεται ἀντὶ τοῦ ἐκεῖνος διαλέγεται· αὗται μὲν οὖν ἑνικαὶ ἀντωνυμίαι· δυϊκαὶ δέ εἰσιν αὗται· νῶϊ, σφῶϊ, σφῶε· σημαίνουσι δὲ αὗται ἡ μὲν νῶϊ τὸ πρῶτον πρόσωπον· ὅταν γὰρ δύο ὦσιν οἱ διαλεγόμενοι καὶ θέλωσιν εἰπεῖν περὶ ἑαυτῶν δυϊκῶς, ὅτι ἡμεῖς διαλεγόμεθα λέγουσιν ὅτι νῶϊ διαλεγόμεθον· ὅταν δὲ οὐ περὶ ἑαυτῶν τὸν λόγον ποιῶνται, ἀλλὰ περὶ δύο τινῶν ἱσταμένων καὶ ὁμιλούντων αὐτοῖς, τότε λέγουσιν, ὅτι σφῶϊ διαλέγεσθον ἀντὶ τοῦ ὑμεῖς οἱ ὁμιλοῦντες ἡμῖν διαλέγεσθε, καὶ σημαίνει ἡ σφῶϊ ἀντωνυμία τὸ δεύτερον πρόσωπον· ὅταν δὲ περὶ δύο τινῶν ἔξωθεν ἑστώτων τὸν λόγον ποιῆται ὁ λέγων, τότε λέγει, ὅτι σφῶε διαλέγεσθον ἀντὶ τοῦ ἐκεῖνοι διαλέγονται, καὶ σημαίνει ἡ σφῶε ἀντωνυμία τὸ τρίτον πρόσωπον.

84 Πληθυντικαὶ δὲ ἀντωνυμίαι εἰσὶν αὗται· ἡμεῖς, ὑμεῖς, σφεῖς· ὅταν γὰρ πολλοὶ ὦσιν οἱ ἱστάμενοι καὶ ὁμιλοῦντες καὶ περὶ ἁπάντων λέγῃ ὁ λέγων ἐμβιβάζων καὶ ἑαυτὸν εἰς τὸ μέσον, τότε οὕτω λέγει, ὅτι ἡμεῖς διαλεγόμεθα, καὶ ἔστιν ἡ ἡμεῖς ἀντωνυμία τοῦ πρώτου προσώπου σημαντικὴ τῶν πληθυντικῶν· εἰ δὲ ἑαυτὸν μὲν ὁ λέγων ἐκβάλλει τοῦ μέσου περὶ μόνων δὲ τῶν ὁμιλούντων αὐτῷ ποιεῖται τὸν λόγον, τότε οὕτω λέγει· ὑμεῖς διαλέγεσθε καὶ ἔστιν ἡ ὑμεῖς ἀντωνυμία τοῦ δευτέρου προσώπου σημαντικὴ τῶν πληθυντικῶν· εἰ δὲ ὁ λέγων οὔτε περὶ ἑαυτοῦ οὔτε περὶ τῶν ὁμιλούντων λέγει, ἀλλὰ περὶ ἑτέρων τινῶν ἔξωθεν ἱσταμένων τριῶν ἢ πλειόνων, τότε οὕτω λέγει, ὅτι σφεῖς διαλέγονται· καὶ ἔστιν ἡ σφεῖς ἀντωνυμία τρίτου προσώπου σημαντικὴ πληθυντικῶν· κοινῷ δὲ λόγῳ εἰ μὲν ὁ λέγων περὶ ἑαυτοῦ μόνου λέγει ἡ τοιαύτη ἀντωνυμία πρῶτον πρόσωπον ἐν τοῖς ἑνικοῖς σημαίνει, οἷον ἐγώ· εἰ δὲ περὶ ἑαυτοῦ ἅμα καὶ ἄλλου ἑνὸς, ἡ τοιαύτη ἀντωνυμία πρῶτον πρόσωπον ἐν τοῖς δυϊκοῖς δηλοῖ, οἷον νῶϊ· εἰ δὲ περὶ ἑαυτοῦ καὶ ἄλλων πλειόνων, ἡ τοιαύτη ἀντωνυμία πρῶτον πρόσωπον πληθυντικῶς παριστᾷ, οἷον τὸ ἡμεῖς· εἰ δὲ περὶ ἑαυτοῦ οὐ ποιεῖται τὸν λόγον ὁ λέγων, περὶ δέ τινος ὁμιλοῦντος· εἰ μέν ἐστιν ὁ τοιοῦτος εἷς, ἡ τοιαύτη ἀντωνυμία δεύτερον πρόσωπον ἐν τοῖς ἑνικοῖς δηλοῖ, οἷον σύ· εἰ δὲ δύο δεύτερον ἐν τοῖς δυϊκοῖς οἷον σφῶϊ· εἰ δὲ πλείονές εἰσι τῶν δύο, ἡ τοιαύτη ἀντωνυμία δεύτερον πρόσωπον ἐν τοῖς πληθυντικοῖς δηλοῖ οἷον ὑμεῖς· εἰ δὲ ὁ λέγων οὔτε περὶ ἑαυτοῦ οὔτε περὶ τοῦ ὁμιλοῦντος αὐτῷ λέγει, ἀλλὰ περί τινος τῶν ἐκτός, εἰ μέν ἐστιν ὁ τοιοῦτος εἷς, ἡ τοιαύτη ἀντωνυμία τρίτον πρόσωπον ἐν τοῖς ἑνικοῖς σημαίνει οἷον ἐκεῖνος· εἰ δὲ δύο τρίτον πρόσωπον ἐν τοῖς δυϊκοῖς δηλοῖ, οἷον σφῶε· εἰ δὲ τρεῖς εἰσιν, ἡ τοιαύτη ἀντωνυμία τρίτον πρόσωπον ἐν τοῖς πληθυντικοῖς δηλοῖ, οἷον σφεῖς· τοσαῦται μὲν οὖν εἰσιν αἱ κυρίως ἀντωνυμίαι τρεῖς ἑνικῶν· ἐγώ, σύ, ἵ, τρεῖς δυϊκῶν, νῶϊ, σφῶϊ, σφῶε, τρεῖς πληθυντικῶν ἡμεῖς, ὑμεῖς, σφεῖς· διὰ τοῦτο δὲ ἀντωνυμίαι καὶ οὐχὶ ὀνόματα λέγονται διότι οὐδὲ γένη

ἐπιδέχονται, οὔτε ἄρθρα, οὔτε πτώσεις· οὐ γάρ ἐστιν ὁ ἐγώ ἀρσενικῶς οὐδὲ ἐγώ θηλυκῶς· ἀλλὰ τοιαῦται μὲν αἱ κυρίως ἀντωνυμίαι ἄναρθροι καὶ ἄκλιτοι· καταχρηστικῶς δὲ ἀντωνυμίαι εἰσὶν εἴκοσι τέσσαρα παραγόμεναι ἀπὸ τούτων τῶν πρωτοτύπων· ἀπὸ γὰρ τοῦ ἐγώ γίνεται ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν· ἀπὸ δὲ τοῦ σύ ὁ σός, ἡ σή, τὸ σόν· ἀπὸ δὲ τοῦ ἵ, ἧς, ἧ (sic) τὸ ὅν· ἀπὸ δὲ τοῦ νῶϊ ὁ νωΐτερος, ἡ νωϊτέρα, τὸ νωΐτερον· ἀπὸ δὲ τοῦ σφῶϊ ὁ σφωΐτερος ἡ σφωϊτέρα τὸ σφωΐτερον· ἀπὸ δὲ τοῦ σφῶε οὐ γίνεται ἀντωνυμία παράγωγος· ἔμελλε γὰρ εἶναι σφωαίτερος καὶ γράφεσθαι τὸ αι δίφθογγον· τὰ γὰρ διὰ τοῦ αιτερος διὰ τῆς αι διφθόγγου γράφεται, οἷον παλαίτερος, ἀρχιαίτερος (sic), πρωϊαίτερος· ἀλλὰ πάλιν ἐὰν ἦν σφωαίτερος τὸ αι δίφθογγον ὤφειλεν εἶναι καὶ σφῶε τὸ αι δίφθογγον· ἀλλ' ἐπειδὴ τοῦτο ἄτοπόν ἐστιν, ἐξέλιπον καὶ ἀπὸ [τοῦ] σφῶε παράγωγοι ἀντωνυμίαι· ἀπὸ τοῦ ἡμεῖς γίνεται ὁ ἡμέτερος, ἡ ἡμετέρα, τὸ ἡμέτερον· ἀπὸ τοῦ σφεῖς ὁ σφέτερος, ἡ σφετέρα, τὸ σφέτερον.

86 Διὰ τούτου λέγονται αὗται κυρίως ἀντωνυμίαι οὔτε ἄρθρα ἐπιδέχονται οὔτε κλίνονται, ὡς ἔφαμεν· αὗται δὲ καὶ ἄρθρα ἐπιδέχονται καὶ κλίνονται. Καὶ περὶ τῶν ἀντωνυμιῶν τοσαῦτα. Εἰσὶ δὲ καὶ ἀντωνυμίαι τινὲς δεικτικαὶ, οἷον τὸ ἐκεῖνος καὶ τὸ τοῦτο καὶ τὸ αὕτη· τὸ γὰρ ταῦτα λέγων ἔοικεν ὥσπερ καὶ διὰ τοῦ δακτύλου τόν, περὶ οὗ λέγει, δεικνύειν. Περὶ προθέσεως. Ἡ δὲ πρόθεσις λέξις ἐστὶ καὶ αὐτὴ μὴ ὑπερβαίνουσα τὴν δισυλλαβίαν, ἀλλ' ἢ μονοσύλλαβός ἐστιν ἢ δισύλλαβος· πρόθεσις δὲ καλεῖται διότι, ὡς καὶ αὐτοῦ τοῦ ὀνόματος δῆλόν ἐστιν, προτίθεται τῶν ἄλλων μερῶν τοῦ λόγου, οἷον ὡς ἐπὶ παραδείγματος ἡ πρός πρόθεσις καὶ ὀνόματος προτάσσεται, ὡς ὅταν εἴπωμεν· πρὸς βασιλέως ἡ δόσις, καὶ ῥήματος ὡς τὸ προσάγω τὴν ἱκετείαν τῷ αὐτοκράτορι· καὶ ἄρθρου, οἷον πρὸς τόνδε ἦλθον· καὶ ἀντωνυμίας, οἷον πρὸς σὲ ἐπιστέλλω· καὶ ἐπιῤῥήματος, ὡς προσεχόντως ἀναγίγνωσκε· καὶ συνδέσμου, οἷον πρὸς μὲν ἡμᾶς ἀρκεῖ ταῦτα. Πρόθεσις μὲν οὖν οὕτως ἡ πρόθεσις λέγεται· διαιρεῖται δὲ εἰς δύο, εἰς τὸ μονοσύλλαβον καὶ δισύλλαβον. Καὶ δισύλλαβοι μέν εἰσι προθέσεις δυοκαίδεκα, ἡ ἀνά, ἡ κατά, ἡ διά, ἡ ἀντί, ἡ ἀμφί, ἡ περί, ἡ παρά, ἡ μετά, ἡ ἐπί, ἡ ἀπό, ἡ ὑπό, ἡ ὑπέρ, ἅπασαι εἰς βραχὺ καταλήγουσαι· μονοσύλλαβοι δὲ ἕξ, ἡ ἐν, ἡ εἰς, ἡ ἐξ, ἡ σύν, ἡ πρός, ἡ πρό· ἔδει γὰρ αὐτὰς ἡμισευθείσας τῶν δισυλλάβων κατὰ μονοσύλλαβον ἡμισευθῆναι κατὰ τὸν ἀριθμόν· αἱ μὲν οὖν προθέσεις τοσαῦται.

87 Περὶ ἐπιῤῥήματος. Ἐπίῤῥημά ἐστι λέξις ἄκλιτος μετὰ τὸ ῥῆμα ταττομένη καὶ τρόπον, ἢ τόπον ἢ σχέσιν δηλοῦσα, οἷον ἀναγιγνώσκω καλῶς· τὸ μὲν γὰρ ἀναγιγνώσκω ῥῆμά ἐστι, τὸ δὲ καλῶς ἐπίῤῥημα καὶ σημαίνει τρόπον, πῶς ἀναγιγνώσκω, τὸ δὲ οἴκαδε καὶ ἄνω καὶ κάτω καὶ τὰ τοιαῦτα ἐπιῤῥήματα τόπον ἢ σχέσιν δηλοῦνται. Περὶ συνδέσμου. Ὁ σύνδεσμος μέρος ἐστὶ καὶ αὐτὸς λόγου ἄκλιτος· ὠνόμασται δὲ σύνδεσμος ἀπὸ τοῦ συνδεσμεῖν καὶ ἑνοποιεῖν τοὺς διαλελυμένους καὶ ἀσυνδέτους λόγους, οἷόν τι λέγω ἐὰν εἴπω· ὁ βασιλεὺς ἐνίκησεν ὁ ἐχθρὸς ἡττήθη, ἀσυνδέτους λέγω καὶ ἀπροσκολλήτως· ἐὰν δὲ εἴπω· ὁ μὲν βασιλεὺς νενίκηκεν, ὁ δὲ ἐχθρὸς ἡττήθη καὶ ἡμεῖς ἑορτάζομεν, ἰδοὺ τὸν λόγον συνέδησα καὶ συνέῤῥαψα καὶ ἕνα ἐποιησάμην, τὸν μέν, τὸν δέ καὶ τὸν καί προσθέμενος σύνδεσμον. Καὶ περὶ μὲν τῶν ἀναγκαίων τοῦ λόγου μερῶν ἀρκεῖ τοσαῦτα. Δεῖ δὲ καὶ περὶ τῶν ἄλλων τῶν χρησιμευόντων ἡμῖν εἰς τὴν παροῦσαν διδασκαλίαν μικρά τινα προσδιδάξαντας οὕτως εἰς αὐτὴν εἰσκαλεῖν. Εἰσὶ δὲ ὡς οἶμαι τὰ χρησιμεύοντα ταῦτα· τὸ εἰδέναι· πόσα μὲν βραχέα καὶ τίνα· καὶ πόσα μὲν φύσει [μακρά], πόσα δὲ θέσει· καὶ πόσοι τόνοι καὶ πόσοι τόποι ἑκάστου αὐτῶν· ἔτι δὲ τίς ἡ λήγουσα καὶ ἡ παραλήγουσα· καὶ τί μὲν λόγος, τί δὲ λέξις, τί δὲ συλλαβή, τί δὲ στοιχεῖον. Βραχέα μὲν οὖν εἰσι τῶν φωνηέντων δύο, τὸ Ε τὸ ψιλόν, καὶ τὸ Ο τὸ μικρόν· Μακρὰ δὲ δύο τὸ Η καὶ τὸ Ω μέγα· δίχρονα δὲ τρία· τὸ Α, τὸ Ι, καὶ τὸ Υ· θέσει δὲ μακρά εἰσιν ὅσα τῇ μὲν ἑαυτῶν φύσει βραχέα εἰσὶ καὶ ἀλλότρια τοῦ μακροῦ, δύο δὲ συμφώνων προσελθόντων αὐτοῖς ἢ καὶ ἑνὸς διπλοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμηκύνθησαν, ὥσπερ καὶ οἱ θετοὶ παῖδες κατὰ μὲν τὴν φύσιν τῶν υἱοθετησάντων εἰσὶν ἀλλότριοι κατὰ δὲ τὴν θέσιν τούτοις ᾠκείωνται.

88 Τόνοι δέ εἰσι δύο, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη· ἡ γὰρ βαρεῖα οὐκ ἔστι κυρίως τόνος. Εἰσὶ δὲ τῆς μὲν ὀξείας τόποι τρεῖς, ὀξύτονος, παροξύτονος καὶ προπαροξύτονος. Ὅταν μὲν γὰρ εἰς τὴν τελευταίαν συλλαβὴν ἡ τῆς φωνῆς γίνηται κροῦσις, οἷον ὁ νικητής, ὁ βασιλεύς ὁ κομνημός ὀξύτονον καλεῖται τοῦτο τὸ ὄνομα· ὅταν δὲ ἐν τῇ ὄπισθεν κειμένῃ τοῦ τέλους συλλαβῇ τέθειται ἡ ὀξεῖα, παροξύτονον καλεῖται, οἷον ὁ αὐτοκράτωρ ὁ κομνηνόπαις· ὁπηνίκα δὲ πρὸ δύο συλλαβῶν κεῖται ὀξεῖα προπαροξύτονον καλεῖται τοῦτο τὸ ὄνομα, οἷον ὁ εὐτυχέστατος ὁ πορφυρογέννητος· τῆς δὲ περισπωμένης εἰσὶ δύο· ὁ περισπώμενος καὶ ὁ προπερισπώμενος. Περισπώμενος μὲν οὖν ἐστιν, ὅταν ἐπὶ τέλους κεῖται περισπωμένη, οἷον ἵνα κατὰ τὸν τεχνικὸν παραδειγματίσω Θωμᾶς Λουκᾶς· προπερισπώμενος δέ, ὅταν πρὸ μιᾶς τοῦ τέλους συλλαβῆς κεῖται ἡ περισπωμένη, οἷον Παῦλος, κῆπος, δῆμος. Περὶ λόγου. Λόγος δέ ἐστι λέξεων ἄθροισις, ἀκεραίαν δηλοῦσα λεγουσῶν τὴν διάνοιαν, ποτὲ μὲν δυσὶ, ποτὲ δὲ τρισί, ποτὲ δὲ τέσσαρσιν, ἐνίοτε δὲ καὶ πλείοσι τούτων λέξεσι περαινόμενος, οἷόν τι λέγω ἐὰν εἴπω· ζῆθι αὐτοκράτορ, αὐτοτελῆ ἐδήλωσα ἔννοιαν, ὅτι ὑπὲρ τοῦ αὐτοκράτορος εὔχομαι.

89 Καὶ ἔστι τὸ τοιοῦτον λόγος ἐκ δύο συγκείμενος λέξεων ἐκ τοῦ ζῆθι καὶ τοῦ αὐτοκράτορ. Ὅταν δὲ προσθεὶς εἴπω ζῆθι αὐτοκράτορ πάντοτε, ἀπὸ τριῶν λέξεων τὸν λόγον ἐποιησάμην· ἐὰν δὲ ἔτι προσθήσω καὶ εἴπω· ζῆθι αὐτοκράτορ πάντοτε χάριν ἡμῶν τῶν ὑπηκόων πολυλεξέτερον (sic) τὸν λόγον ἐποιησάμην. Καὶ τοιοῦτον μέν ἐστιν ὁ λόγος. Περὶ λέξεως. Λέξις δὲ λέγεται ἓν ἕκαστον τοῦ λόγου μερῶν, οἷον λέξις ἐστὶ τὸ ζῆθι καὶ λέξις τὸ αὐτοκράτορ καὶ λέξις τὸ πάντοτε. Σύγκειται δὲ ὁ λόγος ἀπὸ λέξεων διαφόρων, ἢ δυοῖν ἢ τριῶν ἢ πλειόνων οὕτω ἑκάστη λέξις ἀπὸ διαφόρων σύγκειται συλλαβῶν, ὡς ἄνθρωπος. Καὶ συλλαβὴ μὲν τὸ αν, ἑτέρα τὸ θρω καὶ ἄλλη τὸ πος, ἥτις καὶ λήγουσα προσαγορεύεται καὶ τὸ θρω παραλήγουσα καὶ τὸ αν προπαραλήγουσα. Στοιχεῖον δέ ἐστι μέρος συλλαβῆς ἐλάχιστον, οἷον τὸ ζῆθι· δύο εἰσὶ συλλαβαὶ τό τε ζη καὶ θι καὶ ἑκάστη τούτων εἰς δύο στοιχεῖα τέμνεται εἰς τὸ Ζ καὶ Η, ἡ δὲ θι εἰς τὸ Θ καὶ Ι. Ὁ μὲν οὖν λόγος διαιρεῖται εἰς λέξεις, ἡ δὲ λέξις εἰς συλλαβάς, ἡ δὲ συλλαβὴ εἰς στοιχεῖα· καὶ αὖ κατὰ ἀνάλυσιν· τὰ μὲν στοιχεῖα συντιθέμενα ποιοῦσι συλλαβήν, αἱ δὲ συλλαβαὶ λέξεις, αἱ δὲ λέξεις λόγον. Ἀλλ' ἐπειδὴ περὶ τούτων τοσαῦτά σοι καὶ ταῦτα διώρισται, πρέπον ἂν εἴη καὶ εἰς αὐτὴν ἤδη ἐμβαλεῖν τὴν περὶ τῶν κανόνων διδασκαλίαν. Καὶ πρῶτον ἀπορήσαντος· Διατί κανόνας αὐτοὺς ὁ τεχνικὸς καὶ μὴ ἄλλο τι τῶν ὀνομάτων καλεῖσθαι ἠξίωσε; καὶ διατί μυρίων ὄντων ἀρσενικῶν ὀνομάτων αὐτὸς περὶ μόνον τριάκοντα καὶ πέντε διδάσκει; Καὶ φαμέν, ὅτι καθάπερ ἐάν τις τὸ τῶν ἐλεφάντων εἶδος ἠγνόει φέρε εἰπεῖν καὶ τὸ τῶν ἀετῶν, εἶτά με ἀπῄτει ἐπιδείξασθαι αὐτῷ τὴν ἐλεφαντείαν καὶ ἀετείαν μορφήν, οὐκ εἶχον ἀνάγκην, ἅπαντας τοὺς ἐλέφαντας καὶ ἅπαντας τοὺς ἀετοὺς παραγαγεῖν· ἀλλ' ἕνα μόνον ἐλέφαντα καὶ ἀετὸν ὑποδεῖξαι αὐτῷ, καὶ εἰπεῖν· ὦ 'νθρωπε· οἷον ὁρᾷς τουτονὶ τὸν ἐλέφαντα, τοιοῦτοι καὶ ἅπαντες οἱ ἐλέφαντές εἰσι, πάντες μεγάλοι, πάντες πλατεῖς τὰ ὦτα καὶ τὴν ῥῖνα, μακρότατοι καὶ ὀξύτατοι τοὺς ὀδόντας· καὶ οἷον πάλιν βλέπεις τοῦτον τὸν ἀετὸν καμπύλον τὸ ῥάμφος καὶ στεῤῥὸν τὸ πτερόν, τοιοῦτοι καὶ ἅπαντές εἰσιν οἱ ἀετοί· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ ὁ τεχνικὸς ἀπείρων ὄντων τῶν ὀνομάτων ἐξ ἑνὸς ἑκάστου εἴδους ἓν καὶ μόνον χωρίσας περὶ τούτου ἐδίδαξεν, ἵνα τῇ αὐτῇ μεθόδῳ καὶ ἐπὶ τῶν ὁμοίων χρώμενοι δι' ἐκείνου τοῦ ἑνὸς γιγνώσκωμεν καὶ τὰ ἄλλα τὰ ὅμοια· οἷόν τι λέγω· περὶ τῶν εἰς ας ληγόντων ὀνομάτων καὶ περιττοσυλλάβως κλινομένων μέλλων διδάξαι τὸν Αἴαντα μόνον παρέλαβεν καὶ τούτων ἀκριβῶς τὴν κλίσιν ἐδίδαξεν, ἵνα σὺ διὰ τούτου τοῦ ὀνόματος, ἤγουν τοῦ Αἴαντος καὶ τὰ ὅμοια αὐτῷ πάντα μάθῃς· ὡς γάρ ἐστιν Αἴας Αἴαντος οὕτω καὶ Θόας Θόαντος καὶ Ὑΐας (sic) Ὑΐαντος καὶ Δρύας Δρύαντος καὶ πάλιν περὶ τῶν εἰς ας ἰσοσυλλάβως κλινομένων μέλλων εἰπεῖν, τὸν κοχλίαν μόνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρέλαβε διδάσκων σε διὰ τούτου καὶ τὸν Αἰνείαν καὶ τὸν παρείαν καὶ τὸν Ἑρμείαν καὶ τὰ λοιπά· ὡς γὰρ κλίνεται κοχλίας κοχλίου, οὕτω καὶ Αἰνείας Αἰνείου καὶ Ἑρμείας Ἑρμείου καὶ παρείας παρείου· καὶ ὡς Λάχης Λάχητος οὕτως καὶ πένης πένητος καὶ λέβης λέβητος καὶ Κράτης Κράτητος.

91 Καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Διὰ ταύτην οὖν τὴν αἰτίαν, φιλολογωτάτη μοι καὶ βασιλικωτάτη ψυχή, καὶ ὁ τεχνικὸς ἐξ ἑκάστου χαρακτῆρος ὀνομάτων ἓν καὶ μόνον ἐπιλεξάμενος ὄνομα διὰ τούτου καὶ περὶ τῶν ὁμοίων διδάσκει. Καὶ ἐπειδήπερ οἱ χαρακτῆρες τῶν ἀρσενικῶν ὀνομάτων οὐ πλείους εἰσὶ τῶν τριάκοντα πέντε, τριάκοντα πέντε μόνους κανόνας προστίθησιν. Κανόνας δὲ αὐτοὺς ἐκάλεσε μεταφορικῶς ἀπὸ τῶν ξυλουργῶν· ὥσπερ γὰρ οὗτοι ὁπηνίκα κλίνην ἢ θρόνον ἢ τράπεζαν ποιεῖν μέλλουσιν, ἔχουσι κανόνιόν τι ξύλον ὀρθότατον καὶ ἀστραβέστατον, πρὸς ὅπερ τὰ στρεβλὰ τῶν ξύλων καὶ τὰ λοξὰ παρεντιθέντες ἀπευθύνουσι καὶ ὀρθὰ ποιοῦσι· κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ τεχνικὸς ἓν ἕκαστον τῶν τριάκοντα πέντε τούτων ὀνομάτων ἀντὶ κανόνων ἡμῖν παραδίδωσιν, ἵνα πρὸς αὐτὰ καὶ τὰ λοιπὰ τῶν ὀνομάτων ἐξακριβῶμεν καὶ ἀπευθύνωμεν, ὡς φέρε εἰπεῖν· ὁποῖον ἄν σοι προσπέσῃ ἀρσενικὸν ὄνομα, λῆγον εἰς ος μικρόν, οἷον τὸ Θεόδωρος, Γεώργιος, καὶ θέλῃς ἀκριβεστάτην αὐτοῦ τὴν κλίσιν ἐργάσασθαι, πάραγέ μοι τὸν Μενέλαον, ὅν σοι ἀντὶ κανόνος ὁ τεχνικὸς παραδέδωκε, καὶ πρὸς αὐτὸν ἀφορῶσα οὕτω καὶ τὴν ἐκείνου κλίσιν ποιοῦ καὶ πάντως εὐθυτάτην αὐτὴν ποιήσῃ καὶ ὀρθοτάτην. Ὡς γὰρ τὸ Μενέλαος οὕτω καὶ τὸ Θεόδωρος, Θεοδώρου καὶ Γεώργιος Γεωργίου. Ἀλλ’ ἤδη καὶ αὐτῶν ἀρξόμεθα τῶν κανόνων, ἐκεῖνο πρότερον ἐξετάσαντες. Ἆρα ἔστιν ἐν αὐτοῖς εὐταξία τις καὶ αἰτία, δι’ ἣν προτάττεται μὲν ὁ Αἴας, καὶ ὁ κοχλίας τοῦ λάχητος καὶ τοῦ χρύσου, οὗτος πάλιν τοῦ Πάριδος καὶ τοῦ ὄφιος; καὶ ἁπλῶς· ἆρα ἔστιν αἰτία τις, δι’ ἣν ὁ μὲν πρῶτος ὁ δὲ δεύτερος τέθειται καὶ ὁ μὲν πεντεκαιδέκατος ὁ δὲ ἑκκαιδέκατος ἢ ἁπλῶς ὡς ἔτυχε καὶ δίχα τινὸς εὐταξίας ἕκαστος αὐτῶν ἐτέθη; Καὶ τοῖς μὲν ἄλλοις δοκεῖ τυχαίαν εἶναι τὴν θέσιν αὐτῶν καὶ οὐ μετά τινος εὐταξίας τοῦτον ἐκείνου καὶ ἐκεῖνον ἄλλου προτάττεσθαι· ἐγὼ δὲ θαυμασίαν τινὰ καὶ ἀπόῤῥητον εὐταξίαν ἐν τῇ ἀπαριθμήσει τούτων τῶν κανόνων κατανοήσας καὶ τῇ σῇ φιλολογωτάτῃ ψυχῇ ταύτην ἐκκαλύψων ἔρχομαι καὶ πρόσσχες μοι τὸν νοῦν· ἅπαν ἀρσενικὸν ὄνομα εἰς ἓν τῶν συμφώνων τελευτᾷ τούτων· ἢ γὰρ εἰς Σ λήγει ὡς τὸ Αἴας, Δημοσθένης καὶ Πάρις, καὶ βότρυς καὶ ἄνθρωπος καὶ τὰ τοιαῦτα, ἢ εἰς Ν ὡς τὸ λέων, ποιμήν, δελφίν, ἢ εἰς Ξ ὡς τὸ θώραξ, μύρμηξ, πέρδιξ, ἢ εἰς Ρ ὡς τὸ παντοκράτωρ, αὐτοκράτωρ, Ἴβηρ, ἢ εἰς Ψ, ὡς τὸ Ἄραψ, Κύκλωψ· εἰς ἄλλο δὲ σύμφωνον παρὰ ταῦτα τὰ πέντε οὐκ ἐγχωρεῖ λήγειν ἀρσενικὸν ὄνομα καὶ μή μοι εἴπῃς, ὅτι τὸ Ἰώβ, ἀρσενικὸν ὄνομα εἰς Β λήγει καὶ τὸ Δαβίδ εἰς Δ, τὸ δὲ Ἐλιφάτζ εἰς Ζ καὶ τὸ Σαβαώθ εἰς Θ καὶ τὸ Ἰσαάκ εἰς Κ καὶ τὸ Ἄβελ εἰς Λ καὶ τὸ Ἀδάμ εἰς Μ καὶ τὸ Λώτ εἰς Τ καὶ τὸ Ἰωσήφ εἰς Φ· αὐτὰ γὰρ βαρβαρικὰ ὀνόματά εἰσι καὶ ἑβραϊκά· διὰ τοῦτο οὐδὲ κλίνονται· ἡμεῖς δὲ περὶ ἑλληνικῶν.

92 Ἐπεὶ γοῦν, καθάπερ εἴπομεν, εἰς μόνα ταῦτα τὰ πέντε σύμφωνα, λέγω δὴ τὸ Σ. Ν. Ξ. Ρ. Ψ. ἅπαντα τὰ ἀρσενικὰ ὀνόματα τελευτῶσι, σκόπει μοι ἐντεῦθεν, πῶς τοὺς ἑαυτοῦ κανόνας εὐτάκτως ὁ τεχνικὸς ἐκτίθησι. Λαμβάνει πρότερον ἀπὸ τῶν πέντε τούτων συμφώνων τὸ Σ καὶ τίθησιν ὄπισθεν αὐτοῦ κατὰ τάξιν ἕκαστον τῶν ἑπτὰ φωνηέντων· πρῶτον μὲν τὸ Α τοῦ Σ καὶ δοκιμάζει περὶ τῶν εἰς ας ληγόντων ἀρσενικῶν ὀνομάτων· καὶ ἐπεὶ τὰ εἰς ας ἀρσενικὰ ἢ περιττοσυλλάβως ἢ ἰσοσυλλάβως κλίνονται, δύο κανόνας ἐκτίθεται εἰς ας λήγοντας, τὸν μὲν περιττοσυλλάβως κλινόμενον, τὸν Αἴαντα, τὸν δὲ ἰσοσυλλάβως τὸν κοχλίαν, διὰ τῶν δύο τούτων κανόνων ἅπαντα διδάσκων τὰ εἰς ας ὀνόματα· ὤφειλεν οὖν, μετὰ τὸ διδάξαι περὶ τῶν εἰς ας, διδάξαι καὶ περὶ τῶν εἰς ες ὀνομάτων, διότι καὶ ἐν τοῖς φωνήεσι πρῶτον μέν ἐστι τὸ Α, δεύτερον δὲ τὸ Ε· ἀλλ’ ἐπειδὴ οὐχ εὕρηταί ποτε ἀρσενικὸν ἑλληνικὸν ὄνομα λῆγον εἰς ες (τὸ γὰρ Φαρές ἑβραϊκόν ἐστιν), διὰ τοῦτο ἀπὸ τοῦ Ε φωνήεντος καὶ τῆς ες καταλήξεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταπηδήσας· εἰς τὸ τρίτον φωνῆεν εἰς τὴν ης κατάληξιν ἔρχεται καί, ἐπειδὴ τὰ εἰς ης ἀρσενικὰ ὀνόματα τὰ μὲν ἰσοσυλλάβως κλίνονται τὰ δὲ περιττοσυλλάβως, καὶ τῶν περιττοσυλλαβούντων τὰ μὲν διὰ τοῦ τος τὰ δὲ διὰ τοῦ εος, ἃ καὶ συναίρεσιν ἐπιδέχονται, τρεῖς σοι τούτων κανόνας προτίθεται, τὸν Λάχητα, οὗ ἡ κλίσις εἰς τος, τὸν Χρύσην, οὗ ἡ κλίσις διὰ τοῦ σου, τὸν Δημοσθένην, οὗ ἡ κλίσις διὰ τοῦ εος προέρχεται καὶ κατὰ συναίρεσιν εἰς ους γίνεται, ἵνα διὰ τῶν τριῶν τούτων κανόνων τὰ εἰς ης ἅπαντα ὀνόματα ὀρθῶς ἐπιγιγνώσκωμεν, τῷ ὁμοίῳ παρατιθέντες τὸ ὅμοιον, καὶ πρὸς αὐτὸ ἐξακριβοῦντες καὶ ἀπευθύνοντες· οἷον τὸ μὲν λέβης καὶ τὸ Πάχης καὶ τάπης, ἐπειδὴ ἰαμβικά εἰσι καὶ αὐτὴν μὲν μακρὰν τὴν λήγουσαν ἔχοντα συλλαβήν, βραχεῖαν δὲ τὴν παραλήγουσαν· τοῦτο γάρ ἐστιν ἴαμβος σύστημα μετρικὸν ἀπὸ βραχείας ἀρχόμενον καὶ μακρᾶς· ὁμοίως τῷ Λάχητι κλινοῦμεν καὶ τὴν παραδοθεῖσαν ἡμῖν ἀπ’ ἐκείνου ἔφοδον καὶ ἐπὶ τούτοις τηρήσομεν· τὸ δὲ Πέρσης καὶ τὸ Γύγης καὶ τὰ τοιαῦτα ὀνόματα, ἐπειδὴ σπονδειακά εἰσιν (ὁ δὲ σπονδεῖος σύστημά ἐστι καὶ αὐτὸς μετρικὸν ἀπὸ δυοῖν μακρῶν συγκείμενος συλλαβῶν) πρὸς τὸν Χρύσην ἀπευθυνοῦμεν καὶ ὁμοίως ἐκείνῳ κλινοῦμεν.

93 Τὸ δὲ Καλλικράτης καὶ τὸ Ἀριστοκράτης καὶ τὸ Ἀντισθένης καὶ τὸ Γανυμήδης καὶ τὰ τοιαῦτα ὁμοίως τῷ Δημοσθένει κλινοῦμεν· ἐπειδὴ δέ εἰσι τῶν ὀνομάτων τινὰ εἰς ης μὲν λήγοντα καὶ αὐτὰ περισπώμενα δὲ ὅμως, οἷον Καλλικλῆς καὶ τὸ Εὐθυκλῆς, προστίθησιν ἡμῖν καὶ ἕτερον κανόνα τὸν Ἡρακλέα, ἵνα πρὸς αὐτὸν τὰ τοιαῦτα τῶν ὀνομάτων παρατιθέντες ἐξακριβῶμεν.

94 Καὶ ἐπειδὴ περὶ τῶν εἰς ας καὶ περὶ τῶν εἰς ης ὀνομάτων ἀρκούντως διὰ τῶν ἓξ κανόνων τούτων διέλαβεν, ἐπὶ τὸ τέταρτον φωνῆεν το Ι μεταπηδᾷ καὶ περὶ τῆς ις καταλήξεως ζητεῖ. Καὶ ἐπεὶ αὕτη τριχῶς κλίνεται· ἢ γὰρ εἰς δος ἢ εἰς θος κλίνεται ὡς Ἄδωνις Ἀδώνιδος, Πάρις Πάριδος, ὄρνις ὄρνιθος, ἢ διὰ καθαροῦ τοῦ ος ὡς ὄφις ὄφιος, μάντις μάντιος, τῆς μὲν εἰς θος κανόνα οὐκ ἔθετο· ὀλίγα γὰρ τῶν ἀρσενικῶν ὀνομάτων εἰς θος κλίνονται· καὶ ἔγωγε οὐδενὸς ἄλλου ἀπομνημονεύω τῶν εἰς ις ἀρσενικῶν ὀνομάτων εἰς θος κλινομένων, εἰ μὴ τοῦ ὄρνις ὄρνιθος καὶ βάλλις βάλλιθος· βάλλις δέ ἐστιν εἶδος βοτάνης ζωογόνον καὶ τοῖς νοσοῦσιν ὠφελιμώτατον. Τῶν μὲν εἰς θος κλινομένων διὰ ταύτην τὴν αἰτίαν κανόνα οὐκ ἔθετο διὰ τὸ σπανίως εὑρίσκεσθαι τὰ οὕτω κλινόμενα· τῶν δὲ εἰς δος κλινομένων καὶ τῶν εἰς ος κανόνα ἔθετο τὸν Πάριδα (sic) καὶ τὸν ὄφιν· τούτων γὰρ τὸ μὲν Πάρις Πάριδος κλίνεται, τὸ δὲ ὄφις ὄφιος, ὥστε διὰ μὲν τοῦ Πάρις Πάριδος δηλοῦνταί σοι ὁ Ζεῦξις, ὁ Δάμις, ὁ Θέογνις, ὁ Εὔπολις, ὁ φιλόπολις, καὶ ἁπλῶς· ὅσα τῶν ὀνομάτων εἰς δος κλίνεται, διὰ δὲ τοῦ ὄφιος πάλιν ὅσα διὰ καθαροῦ τοῦ ος τὴν κλίσιν ἐπιδέχεται. Ἐπειδὴ οὐ μόνον εὑρίσκομεν ὀνόματα εἰς ἀσύμπλοκον Ι λήγοντα, οἷά εἰσιν τὰ εἰρημένα· ἀλλ’ ἔστι πολλὰ καὶ ἄλλα λήγοντα εἰς Ι συμπεπλεγμένον τῷ Ε, οἷόν ἐστι τὸ τιμήεις καὶ τὸ ἐρώεις καὶ τὸ αὐδήεις· ταῦτα γὰρ εἰς τὴν ΕΙ δίφθογγον λήγουσι, τὴν ἀπὸ τοῦ Ε συγκειμένην καὶ τοῦ Ι, ἐκτίθεταί σοι καὶ ἕτερον κανόνα τὸν χαρίεντα καὶ οὕτω τὴν περὶ τῶν εἰς ις ληγόντων ὀνομάτων διδασκαλίαν σημαινούμενος ὤφελε μὲν ἐκ τοῦ Ι τοῦ τετάρτου φωνήεντος εἰς τὸ Ο μικρὸν καταβῆναι καὶ περὶ τῶν εἰς ος ὀνομάτων διδάξαι, εἶτα περὶ τῶν εἰς υς· ἕκτον γὰρ φωνῆεν τὸ Υ· καὶ τελευταῖον περὶ τῶν εἰς Ω μέγα· ἀλλ’ ἐπειδὴ πολλὰ τῶν εἰς ος μικρὸν ὀνομάτων, οἷον τὸ Νικόλαος καὶ τὸ Φιλόλαος παρὰ Ἀττικοῖς εἰς ως μέγα γράφεται οἷον Νικόλεως καὶ Φιλόλεως καὶ ἀναγκαῖον ἦν ἐν τῷ μνημονεύειν τοῦ ος μικροῦ μνημονεύειν καὶ τοῦ ως μεγάλου· καὶ οὕτως ἐκινδύνευε τὸ Υ τελευταῖον ἁπάντων ταγῆναι· διὰ τοῦτο προτίθησι τὸ Υ τοῦ Ο· καὶ πρῶτον μὲν περὶ τῶν εἰς υς ὀνομάτων διδάσκει· ἔπειτα δὲ περὶ τῶν εἰς ος εὐτακτότατον τῷ λόγῳ ἐφοδεύων καὶ διδασκαλικώτατον.

95 Καὶ ἐπειδὴ τῶν εἰς υς ὀνομάτων τὰ μὲν εἰς ἀσύμπλοκον λήγει τὸ Υ, οἷον τὸ γλυκύς καὶ τὸ ταχύς καὶ τὸ πέλεκυς καὶ τὸ ἄσταχυς, τὰ δὲ εἰς συμπεπλεγμένον οἷον τὸ Θησεύς, τὸ Ἀχιλλεύς, τὸ νοῦς, τὸ πλοῦς· ἐν γὰρ τούτοις καὶ τοιούτοις συμπεπλεγμένον ἐστὶ τὸ Υ, ἐπὶ μὲν τοῦ Θησεύς μετὰ τοῦ Ε, ἐπὶ δὲ τοῦ νοῦς μετὰ τοῦ Ο· τέτταράς σοι κανόνας ἐκτίθεται τῶν εἰς υς ὀνομάτων· δύο μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύνθετον ἔχοντας τὸ Υ, τὸν Πηλέα καὶ τὸν νοῦν· καὶ διὰ μὲν τοῦ Πηλέως ἅπαντά σε διδάσκει τὰ εἰς ευς ὀνόματα, τὸ βασιλεύς, ἀριστεύς, χαλκεύς, βαφεύς, ἱερεύς, Νηλεύς καὶ τὰ ὅμοια, τὰ δὲ διὰ τοῦ νοός τὰ εἰς ους οἷον νοῦς, βοῦς, πλοῦς, ῥοῦς, χοῦς· δύο δὲ αὖθις ἑτέρους κανόνας προβάλλεται ἁπλοῦν ἔχοντας τὸ Υ, τὸν ἡδέα καὶ τὸν βότρυν· διὰ μὲν τοῦ ἡδέος ἅπαντα διδάσκων τὰ εἰς υς διὰ τοῦ εος κλινόμενα ὀνόματα· ὡς γὰρ τὸ ἡδύς ἡδέος κλίνεται, οὕτως καὶ ταχύς ταχέος καὶ γλυκύς γλυκέος καὶ ὠκύς ὠκέος καὶ ὀξύς ὀξέος καὶ τοιαῦτα, διὰ δὲ τοῦ βότρυος τὰ εἰς υς διὰ τοῦ υος κλινόμενα δείκνυσιν· ὡς γὰρ βότρυς βότρυος οὕτω καὶ στάχυς στάχυος καὶ ἄσταχυς ἀστάχυος.

96 Καὶ ἐν τούτοις τὴν περὶ τῶν εἰς υς ὀνομάτων διδασκαλίαν τελέσας περὶ τῶν εἰς ος μικρὸν ληγόντων ὀνομάτων φιλοσοφεῖ τεσσαρεσκαιδέκατον κανόνα τὸν πλόον προχειρισάμενος· δι’ οὗ μόνου σαφῶς ὑποδείκνυσι τὴν κλίσιν ἁπάντων τῶν εἰς ος ὀνομάτων· ὡς γὰρ τὸ πλόος πλόου, οὕτω καὶ ἄνθρωπος ἀνθρώπου καὶ σοφός σοφοῦ, καὶ ἀγρός ἀγροῦ καὶ Λυκοῦργος Λυκούργου καὶ Ἀλέξανδρος Ἀλεξάνδρου· καὶ περὶ τούτου εἰπὼν τὰ καθήκοντα ἀκολούθως καὶ περὶ τοῦ τελευταίου φωνήεντος τοῦ μεγάλου Ω. Καὶ [περὶ] τῶν εἰς ως μέγα ληγόντων, ὀνομάτων τὰ μὲν διὰ τοῦ τος κλίνονται, ὡς τὸ Νέπως Νέπωτος, ἔρως ἔρωτος, τὰ δὲ διὰ καθαροῦ τοῦ ος, ὡς τὸ Μίνως Μίνωος, ἥρως ἥρωος, τὰ δὲ κατὰ ἀποβολὴν τοῦ Σ ποιοῦσι τὴν κλίσιν οἷον ὁ νεώς τοῦ νεώ, ὁ Νικόλεως τοῦ Νικόλεω, τρεῖς σοι κανόνας καὶ τούτων προτίθησι τὸν γέλωτα, τὸν ἥρωα καὶ τὸν Μενέλεων. Καὶ διὰ μὲν τοῦ γέλωτος τὰ εἰς τος ἅπαντα κλινόμενα δείκνυσί σοι· ὡς γὰρ τὸ γέλως γέλωτος, οὕτως ὀφείλεις κλίνειν καὶ τὸ ἔρως ἔρωτος, διὰ δὲ τοῦ ἥρωος πάλιν τὰ εἰς ος καθαρὸν κλινόμενα· ὡς γὰρ τὸ ἥρως ἥρωος οὕτως καὶ Μίνως Μίνωος· διὰ δὲ τοῦ Μενέλεω τὰ κατὰ ἀποβολὴν τοῦ Σ τὴν γενικὴν ποιοῦντα. Καὶ ἐν τούτοις τὰ εἰς Σ λήγοντα ὀνόματα ἐπεράνατο· ἐπεὶ δὲ εὑρίσκονταί ποτε καὶ ὀνόματα ἐπὶ τέλους μὲν ἔχοντα καὶ αὐτὰ τὸ Σ, οὐ μέντοι γε μόνον ἀλλὰ μεθ’ ἑτέρου τινὸς συμφώνου, οἷον ὁ μάκαρς καὶ ὁ τίρυνς καὶ ὁ ἅλς, καὶ ἕτερον κανόνα τὸν ἅλα προχειρισάμενος μεχρὶ τούτου περὶ τῆς εἰς Σ καταλήξεως τὸν λόγον ἐτελείωσεν.

97 Καὶ ἀπορητέον ἐνταῦθα· διατί εὐτάκτως, ὡς εἴπομεν, καὶ ἀκολούθως τὰ φωνήεντα παραλαμβάνων ὁ τεχνικὸς καὶ πρῶτον μὲν περὶ τῶν εἰς Α καὶ Σ ληγόντων ὀνομάτων φιλοσοφῶν, ἐπειδὴ καὶ πρῶτον φωνῆέν ἐστι τὸ Α, ἑξῆς δὲ περὶ τῶν εἰς Η καὶ Σ καὶ οὕτω διὰ πάντων τῶν διὰ μέσου μεχρὶ τῶν εἰς ως μέγα ληγόντων φθάσας, ὅπερ δὴ καὶ τελευταῖον φωνῆέν ἐστιν, ὕστερον πάντων ἐμνημόνευσε τοῦ ἁλός; καὶ μὴν ἐγγὺς τοῦ Αἴαντος ἔδει τὸν ἅλα τεθῆναι, διότι καθάπερ ὁ Αἴας οὕτως δὴ καὶ ὁ ἅλς εἰς Α λήγει καὶ Σ. Διατί γοῦν ἠδίκησεν αὐτὸν ὁ τεχνικὸς καὶ τὸ πρωτεῖον αὐτοῦ ἀφελόμενος περί που τὸ οὐραῖον τῶν κανόνων αὐτὸν ἀπέλυσε; Καὶ φαμὲν πρῶτον μέν, ὅτι οὐκ εἰς Α λήγει ὁ ἅλς, καθάπερ δὴ καὶ ὁ Αἴας· ἐπὶ μὲν γὰρ τοῦ Αἴας συνεχές ἐστι καὶ ἡνωμένον τὸ Α μετὰ τοῦ Σ, ἐπὶ δὲ τοῦ ἅλς οὐχ οὕτως· ἀνὰ μέσον γὰρ τοῦ Α καὶ τοῦ Σ τὸ Λ ἐμεσοσυλλάβησε, καὶ λοιπὸν οὐκ ἔστι τῶν εἰς ας ληγόντων ὁ ἅλς· εἰ δὲ καὶ τοῦτο δώσομεν, ἐπαινετέος μᾶλλον ὁ τεχνικὸς διὰ τοῦτο, ὅτι κύκλον ἐν τῇ αὐτοῦ διδασκαλίᾳ ἀπεμιμήσατο· καθάπερ γὰρ ὁ κύκλος ἀπὸ τοῦ αὐτοῦ ἄρχεται καὶ εἰς ταὐτὸ καταλήγει· οὕτω δὴ καὶ ὁ τεχνικὸς ἀπὸ τῶν εἰς ας ἀρξάμενος ὀνομάτων πάλιν εἰς τὰ εἰς ας εὐτάκτως κατέληξεν, ὡς δέον φασὶ καὶ οἱ θεολόγοι καὶ σοφώτατοι ἄνδρες ἐκ θεοῦ ἄρχεσθαι καὶ εἰς θεὸν ἀναπαύεσθαι, ἤ, ἵνα τι καὶ ἀστειότερον εἴπω καὶ χαριέστατον, οἱ τεχνικώτατοι τῶν μαγείρων πρῶτον μὲν τὰ κρέα καὶ τοὺς ἰχθῦς εἰς τὰς λοπάδας ἐμβάλλουσι καὶ ἐπὶ τῷ πυρὶ τιθέντες ἕψουσιν, ἔπειτα δὲ καὶ τοὺς ἅλας ἐμβαλόντες τὴν βρῶσιν ἐκείνην νοστιμωτέραν ποιοῦσι καὶ ἡδυτέραν· οὕτω δὴ καὶ ὁ τεχνικὸς περὶ τῶν ἄλλων κανόνων πρῶτον εἰπὼν ὕστερον αὐτοῖς καὶ τὸν ἅλα προσέθηκεν, ἀρτύων οἶμαι τούτους καὶ νοστιμωτέρους ἀπεργαζόμενος.

98

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνακεφαλαιωσαμένη, ἀρίστη μοι βασιλίδων, ἅπαντα τὰ προειρημένα, ἴδε τὴν τῶν εἰς Σ ληγόντων εὐταξίαν. Αἴας, κοχλίας· ἰδού σοι τὸ Α μετὰ τοῦ Σ· Λάχης, Χρύσης· Δημοσθένης, Ἡρακλῆς· ἰδοὺ τὸ Η μετὰ τοῦ Σ· Πάρις, ὄφις, χαρίεις· ἰδοὺ τὸ Ι μετὰ τοῦ Σ· γέλως, ἥρως, Μενέλεως· ἰδοὺ τὸ Ω μέγα μετὰ τοῦ Σ, καὶ τελευταῖον ὁ ἅλς. Καὶ ἐπεὶ περὶ τῶν εἰς Σ ληγόντων ὀνομάτων ὡς ἄριστα ἠκριβώσατο καταβαίνει λοιπὸν ἐπὶ τὸ Ν καὶ περὶ τῶν εἰς Ν ληγόντων ὀνομάτων πολυπραγμονεῖ, τὴν προτέραν αὐτοῦ εὐταξίαν καὶ ἐνταῦθα τηρῶν. Ὥσπερ καὶ ἐπὶ τῆς εἰς Σ καταλήξεως πρῶτον ἐτέθη τὸ Α μετὰ τοῦ Σ, εἶτα τὸ Η, εἶτα τὸ Ι καὶ ἑξῆς τὰ ἄλλα μεχρὶ τοῦ Ω, οὕτω καὶ ἐνταῦθα ποιεῖ. Καὶ περὶ τῶν εἰς Α καὶ Ν ληγόντων ἀρσενικῶν ὀνομάτων πρῶτον διδάσκει, τὸν Ἀλκμᾶνα κανόνα προχειρισάμενος, διδάσκων δι’ αὐτοῦ καὶ τὰ ὅμοια τὸν παιᾶνα, Τιτᾶνα, τὸν πελεκᾶνα· δεύτερον δὲ περὶ τῶν εἰς Η ληγόντων διαλαμβάνει, καὶ ἐπειδὴ τῶν εἰς ην ὀνομάτων τὰ μέν εἰσιν ὀξύτονα, οἷον τὸ ποιμήν καὶ τὸ πυθμήν καὶ τὸ λιμήν, τὰ δὲ παροξύτονα οἷον τὸ Ἕλλην, τὸ τέρην, τὸ ἄρσην, δύο σοι ἐνταῦθα κανόνας προτίθεται, ἕνα μὲν τὸν σωλῆνα ὀξυνόμενον, ἕτερον δὲ τὸν Ἕλληνα παροξυνόμενον. Καὶ μὴν εἴποι ἄν τις δικαίως, ὡς οὐ δύο μόνους κανόνας ἐπὶ τῶν εἰς ην ὀνομάτων ὤφειλε θεῖναι, ἀλλὰ τέτταρας· οὔτε γὰρ τὰ εἰς ην ὀξυνόμενα πάντα ἐπίσης κλίνονται· ἀλλὰ τὰ μὲν φυλάττει τὸ η ἐπὶ γενικῆς, ὡς τὸ σωλήν σωλῆνος, τὰ δὲ οὐ φυλάττει ὡς τὸ ποιμήν ποιμένος, οὔτε τὰ εἰς ην παροξύτονα ὡσαύτως κλίνονται, ἀλλὰ καὶ τούτων τὰ μὲν φυλάσσει τὸ η, ὡς τὸ Ἕλλην Ἕλληνος, τὰ δὲ οὐ φυλάσσει ὡς τὸ ἄρσην ἄρσενος· οὕτω καὶ ἐξαρχῆς δύο κανόνας τὸν Αἴαντα καὶ τὸν κοχλίαν ἐποίησεν, ὅτι διάφορος αὐτῶν ἡ κλίσις ἐτύγχανεν.

99 Ἐπεὶ τοίνυν καὶ ταῦτα διαφόρως κλίνεται καὶ τέσσαρές εἰσι τῆς κλίσεως αἱ διαφοραὶ ὡς ἔφαμεν τέσσαρας ἔδει καὶ τοὺς κανόνας προθέσθαι, ὁ δὲ δύο καὶ μόνους προθέμενος ἐλλιπῆ δοκεῖ τὴν διδασκαλίαν ποιήσασθαι. Φαμὲν πρὸς τὸν οὕτω διαποροῦντα, ὅτι, ὦ φίλ’ ἑταῖρε, οὐ πάνυ δικαίως ἐγκαλεῖν δοκεῖς τῷ τεχνίτῃ· ἐπὶ μὲν γὰρ τῶν εἰς ας δύο κανόνες ἐγένοντο διὰ τὸ καὶ τὴν κλίσιν αὐτῶν παντάπασιν εἶναι παρηλλαγμένην· ὁ μὲν γὰρ Αἴας περιττοσυλλάβως, ὁ δὲ κοχλίας ἰσοσυλλάβως κλίνεται καὶ τοῦ μὲν ἡ δοτικὴ εἰς Ι ἐκφωνούμενον λήγει, τοῦ δὲ εἰς ἀνεκφώνητον καὶ τοῦ μὲν ἡ αἰτιατικὴ εἰς Α, τοῦ δὲ εἰς Ν τελευτᾷ· καὶ συνόλως εἰπεῖν πολλή ἐστιν ἀμφοτέρων ἡ παραλλαγὴ καὶ διαφορά· διὰ τοῦτο γοῦν καὶ δύο κανόνας ἐκεῖσε πεποίηκεν· ἐνταῦθα δὲ μικρὸν ἢ οὐδὲν ἀλλήλων τὸ σωλήν καὶ τὸ ποιμήν διαφέρουσι καὶ τὸ Ἕλλην καὶ τὸ ἄρσην· ἐπίσης γὰρ ἁπάντων τούτων εἰς ος ἡ γενικὴ τελευτᾷ· σωλῆνος, ποιμένος, Ἕλληνος, ἄρσενος, καὶ εἰς Ι ἐκφωνούμενον ἡ δοτικὴ σωλῆνι, ποιμένι, Ἕλληνι, ἄρσενι, καὶ αἱ λοιπαὶ τῶν πτώσεων ἀπαραλλάκτως ἔχουσι, μόνον μέντοι παρὰ τὴν παραλήγουσαν τῆς γενικῆς ἐστιν ἡ διαφορά, ὅτι ἐκεῖ μὲν σωλῆνος διὰ τοῦ Η, ἐκεῖ δὲ ποιμένος διὰ τοῦ Ε, καὶ ἐκεῖ μὲν Ἕλληνος διὰ τοῦ Η, ἐκεῖ δὲ ἄρσενος διὰ τοῦ Ε. Περιττὸν τοίνυν ἔδοξε διαφορὰν μικρὰν καὶ ὀλιγοστὴν (sic) πολλοὺς παρεισκυκλῆσαι λόγους καὶ πλείονας κανόνας ἐκθέσθαι· διὰ ταύτην γοῦν τὴν αἰτίαν ἐπὶ τῶν εἰς ην ὀνομάτων ἠρκέσθη τοῖς δυσὶ τούτοις κανόσι, τῷ σωλῆνί φημι καὶ τῷ Ἕλληνι· ἐγὼ δέ, ἵνα τι γενναιότερον συναγορήσω τῷ τεχνικῷ, καὶ τέσσαρας εἴποιμι ἂν τῶν εἰς ην ὀνομάτων κανόνας ἐκθέσθαι αὐτόν· πῶς καὶ τίνα τρόπον ἐγώ σοι δείξω σαφέστατα· ἃ γὰρ αὐτὸς μετὰ τοὺς κανόνας ἐκτίθησιν ὀνόματα καὶ παραδείγματα ὀνομάζει, τί ἄλλο ἢ κανόνες εἰσὶ καὶ αὐτά; ὥσπερ γὰρ πρὸς τὸν κανόνα λέγομεν ἀπευθύνειν τὰ λοξὰ τῶν ὀνομάτων καὶ στρεβλά, καὶ τῷ κανόνι ἰσάζοντα ἐκεῖνα ὀρθῶς ἔχειν κρίνομεν· οὕτω καὶ πρὸς τὸ παράδειγμα ἀφορᾶν καὶ τὰ τῷ παραδείγματι ἐοικότα ἐκεῖνα ὑγιῶς ἔχειν λέγομεν· ἔστιν ἄρα καὶ ὁ κανὼν παράδειγμα καὶ τὸ παράδειγμα κανών· τὴν γὰρ αὐτὴν δηλοῦσι διάνοιαν καὶ τοῖς ὀνόμασι διαφέρουσιν.

100 Ἐπεὶ γοῦν δύο μὲν κανόνας τῶν εἰς ην ὀνομάτων, ὥς φαμεν, ὁ τεχνικὸς πεποίηκεν, ἔθετο δὲ αὐτῶν σοι παραδείγματα, ταὐτὸν δ’ ἐστὶ τῷ παραδείγματι ὁ κανών· οὐ δύο ἄρα μόνους

κανόνας, ἀλλὰ τέσσαρας προκεχείρισται. Ἀνατρεχέτω δὲ πρὸς τὴν ἀκολουθίαν ὁ λόγος. Ἐπεὶ γὰρ πρῶτα μὲν περὶ τῶν εἰς Α καὶ Ν ληγόντων τῶν ἀρσενικῶν ὀνομάτων, δεύτερον δὲ περὶ τῶν εἰς Η καὶ Ν διέλαβεν ὁ τεχνικός· τοῦ γὰρ Ε καὶ τοῦ Ν οὐκ ἔστιν ἀρσενικῶν οὐδεμία κατάληξις διὰ τὸ βραχὺ μὲν εἶναι τὸ Ε. Πᾶν δὲ ἀρσενικὸν καὶ θηλυκὸν εἰς ἀμετάβολον λῆγον μακροκαταληκτεῖν θέλει· ἀκολούθως μετὰ τὸ διδάξαι περὶ τοῦ η καὶ ν ἐπὶ τὰ εἰς Ι καὶ Ν λήγοντα ὀνόματα μεταπηδᾷ, καὶ τὸν δελφῖνα κανόνα προχειρισάμενος δι᾽ αὐτοῦ σε διδάσκει καὶ πάντα τὰ ὅμοια, τὸ τελχίν, τὸ ἑρμίν καὶ τὰ λοιπά· ἔστι δὲ τελχίν δαίμων ἐριννυώδης καὶ φθονερός· τὸ ἑρμίν τὸ κραβατοπόδιον· ἔδει γοῦν αὐτὸν μετὰ τὸ Ι καὶ Ν περὶ τῶν εἰς Ο καὶ Ν ληγόντων ὀνομάτων φιλοσοφῆσαι· ἀλλ᾽ ἐπειδὴ οὐδέποτε ἀρσενικὸν ὄνομα εἰς Ο μικρὸν καὶ Ν λήγει κατὰ ὀρθὴν καὶ εὐθεῖαν πτῶσιν δι᾽ ἣν ἀνωτέρω αἰτίαν εἰρήκαμεν, ἐπὶ τὸ Υ μεταβαίνει καὶ περὶ τῶν εἰς Υ καὶ Ν διδάσκει σε ὀνομάτων διὰ κανόνος τοῦ Φόρκυνος καὶ ἀκολούθως ἐπὶ τὸ μέγα Ω τὸν λόγον μεταβιβάζει καὶ περὶ τῶν εἰς ων ὀνομάτων διαλαμβάνει· καὶ ἐπεὶ τὰ εἰς ων ὀνόματα τὰ μέν εἰσι παροξύτονα, τὰ δὲ ὀξύτονα, τὰ δὲ περισπώμενα, τρεῖς σοι κανόνας καὶ τούτων ἐκτίθεται, παροξύτονον μὲν τὸν Θέωνα, ὀξύτονον δὲ τὸν κοιτῶνα, περισπώμενον δὲ τὸν Ξενοφῶντα.

101 καίτοι οὐδὲ ἐνταῦθα ἀνελλιπῶς ἔχειν ἡ διδασκαλία δόξειεν· οὔτε γὰρ τὰ εἰς ων παροξύτονα πάντα ἐπίσης κλίνεται· ἀλλὰ τὰ μὲν φυλάσσει τὸ ω μέγα ἐπὶ τῆς γενικῆς ὡς τὸ Θέων Θέωνος, Δίων Δίωνος, τὰ δὲ τρέπει αὐτὸ εἰς μικρόν, ὡς τὸ γείτων γείτονος, ἐλεήμων ἐλεήμονος· τὰ δὲ τρέπει αὐτὸ καὶ προσλαμβάνει τὸ Τ, ὡς τὸ δράκων δράκοντος, λέων λέοντος, οὔτε μὴν τὰ εἰς ων ὀξύτονα τὴν αὐτὴν ἐπιδέχεται κλίσιν, ἀλλὰ καὶ τούτων τὰ μὲν φυλάσσει τὸ Ω μέγα, ὡς τὸ παρθενὼν παρθενῶνος, τὰ δὲ οὐ φυλάσσει, ὡς τὸ Σαρπηδών Σαρπηδόνος· διατί δὲ τοσούτων διαφορῶν οὐσῶν ἔν τε τοῖς ὀξυτόνοις καὶ τοῖς παροξυτόνοις οὐχὶ καθ᾽ ἑκάστην διαφορὰν ἴδιον κανόνα ἐποίησεν, ἀλλ᾽ ἕνα μὲν ἁπλῶς τῶν παροξυτόνων τὸν Θέωνα, ἕνα δὲ τῶν ὀξυτόνων τὸν κοιτῶνα, ἕνα δὲ τῶν περισπωμένων τὸν Ξενοφῶντα; καὶ λύομεν τοῦτο ἐπίσης τῷ προσλαβόντι λέγοντες, ὅτι πρῶτα μὲν ἐκεῖ χρείαν ἔχομεν ἑτέρων κανόνων, ἔνθα μεγάλην εὑρίσκομεν τὴν διαφοράν· ἐπὶ δὲ τοῦ Θέωνος καὶ τοῦ γείτονος καὶ τοῦ δράκοντος κατὰ μόνην τὴν παραλήγουσάν ἐστιν ἡ διαφορά· τὰ δὲ λοιπὰ πάντα ἐπ᾽ ἴσης ἔχει· ὁμοίως καὶ ἐπὶ τοῦ κοιτῶνος καὶ τοῦ Σαρπηδόνος ἡ παραλήγουσα μόνον τὸ διάφορον ἔχει, τὰ δ᾽ ἄλλα ἰσάζει, ὥστε περιττὸν ἦν ἐπὶ τοῖς οὕτω διαφόροις διαφόρους κανόνας ἐκτίθεσθαι.

102 Καίτοι οὔτε ταῦτα παντελῶς ἀμνημόνευτα εἴασεν, ἀλλ᾽ ἐν παραδείγμασιν ἔθετο· ὡς δὲ ἐδείχθη καὶ τὸ παράδειγμα γειτονεῖ. Ἄθρει γοῦν ὡς ἐν κεφαλαίῳ, θεσπεσία μοι κεφαλή, καὶ τὸ τῶν εἰς Ν ληγόντων ὀνομάτων εὔτακτον. Ἀλκμάν· ἰδού σοι τὸ Α μετὰ τοῦ Ν, σωλήν σωλῆνος, Ἕλλην, ἰδού σοι τὸ Η μετὰ τοῦ Ν· δελφίν· ἰδού σοι τὸ Ι μετὰ τοῦ Ν· Φόρκυν· ἰδού σοι τὸ Υ μετὰ τοῦ Ν· Θέων, κοιτών, Ξενοφῶν· ἰδοὺ τὸ Ω μέγα μετὰ τοῦ Ν. Κἀπειδήπερ ἐν τούτοις τὴν εἰς Ν κατάληξιν τῶν ἀρσενικῶν ὀνομάτων διεπεράνατο, ἐπὶ τὴν εἰς Ξ μεταβαίνει καὶ κατὰ τὴν συνήθειαν ἀκολούθως πρότερον περὶ τῶν εἰς αξ ληγόντων ὀνομάτων φιλοσοφεῖ, τὸν θώρακα μόνον κανόνα θέμενος· καὶ ἐπεὶ τριχῶς κλίνονται τὰ εἰς ξ, τὰ μὲν εἰς κος, ὡς τὸ ἄνθραξ ἄνθρακος, τὰ δὲ εἰς γος, ὡς τὸ ἅρπαξ ἅρπαγος, τὰ δὲ εἰς κτος ὡς τὸ ἄναξ ἄνακτος· τρεῖς ἔδει προθέσθαι· ἀλλ᾽ ὁ τεχνικὸς διὰ τὸ ταῦτα πάντα, εἴτε εἰς γος εἶεν εἴτε εἰς κτος, τὴν ὁμοίαν ἐπιδέχεσθαι κλίσιν, ἀρκεσθεὶς μόνῳ τῷ θώρακι καὶ τὰ λοιπὰ ὡς παραδείγματα θέμενος, ἐπὶ τὸ η καὶ ξ μεταβαίνει καὶ τὸν μύρμηκα κανόνα μόνον προβάλλεται· καίτοι καὶ τῶν εἰς ηξ διπλῆ ἐστιν ἡ κλίσις· τὰ μὲν γὰρ τούτων διὰ τοῦ κ κλίνεται, ὡς τὸ μύρμηκος καὶ σκώληκος, τὰ δὲ διὰ τοῦ γ ὡς τὸ βουπλῆγος καὶ τὸ ἀκανθοπλῆγος· ἀλλὰ πάλιν διὰ τὸ καὶ ταῦτα πάντα περιττοσυλλάβως, ὡς ἔφαμεν, κλίνεσθαι ἠρκέσθη μόνῳ τῷ μύρμηκι, τὸν δὲ βουπλῆγα παραδειγματίσας ἐπὶ τὸ Ι καὶ Ξ μετέρχεται καὶ προχειρίζεται κανόνα κἀνταῦθα τὸν πέρδικα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καίτοι τριπλῆς οὔσης καὶ ταύτης τῆς κλίσεως· τὰ μὲν γὰρ τῶν εἰς ιξ ὀνομάτων εἰς κος κλίνεται ὡς τὸ πέρδιξ πέρδικος, τὰ δὲ εἰς γος ὡς τὸ τέττιξ τέττιγος, τὰ δὲ εἰς χος ὡς τὸ καλλίθριξ καλλίτριχος, ἀλλ᾽ ὅμως διὰ τὴν προῤῥηθεῖσαν αἰτίαν καὶ τὸ ἐπίσης τὰ εἰς ιξ ἅπαντα κατὰ περιττοσυλλαβίαν κλίνεσθαι ἤρκεσεν αὐτῷ μόνος ὁ πέρδιξ καὶ μεταβὰς ἀπὸ τῶν εἰς ιξ ἐπὶ τὰ εἰς υξ ἔρχεται καὶ τὸν δοίδυκα προθέμενος ἐπὶ τὰ εἰς ωξ ἔρχεται καὶ διὰ κανόνος τοῦ βωκὸς ὁμοίαν τὴν κλίσιν τούτων γνωρίσας ἐν τούτῳ τελεοῖ τὴν εἰς ξ κατάληξιν.

103 Καὶ ἀναθεώρησον ταῦτα, μεγαλεπηβολωτάτη μοι βασιλίδων. Θώραξ· ἰδοὺ τὸ Α μετὰ τοῦ Ξ· μύρμηξ ἰδοὺ τὸ Η μετὰ τοῦ Ξ, πέρδιξ ἰδοὺ τὸ Ι μετὰ τοῦ Ξ, βέβυξ ἰδοὺ τὸ Υ μετὰ τοῦ Ξ, βῶξ ἰδοὺ τὸ Ω μετὰ τοῦ Ξ. Καὶ ἐπειδὴ περὶ τούτων ἀρκούντως εἶπεν ἐπὶ τὴν εἰς Ρ κατάληξιν μεταβαίνει καὶ περὶ τῶν εἰς Η καὶ Ρ ληγόντων διδάσκει· εἰς αρ γὰρ οὐχ εὕρηται λῆγον ὄνομα ἀρσενικὸν ἑλληνικόν. Καὶ ἐπεὶ τῶν εἰς ηρ τὰ μὲν ὀξύνεται, τὰ δὲ παροξύνονται δύο κανόνας ἐκτίθεται, τὸν μὲν ἕνα ὀξύτονον τὸν λουτῆρα, τὸν δὲ ἄλλον παροξύτονον τὸν Πίερα. Καίτοι καὶ τῶν ὀξυτόνων τὰ μὲν φυλάσσει τὸ η καὶ ἐπὶ τῆς γενικῆς ὡς τὸ λουτήρ λουτῆρος, τὰ δὲ οὐ φυλάσσει ὡς τὸ ἀστὴρ ἀστέρος· ὡσαύτως καὶ τῶν παροξυτόνων τὰ μὲν φυλάσσει τὸ η ὡς τὸ Ἴβηρ, τὰ δὲ οὐ φυλάσσει ὡς τὸ Πίηρ Πίερος· ἀλλὰ διὰ τὴν προῤῥηθεῖσαν αἰτίαν καὶ τὸ ἐν πᾶσι τούτοις ὁμοίως εἶναι τὴν κλίσιν περιττοσύλλαβον τοῖς δυσὶ τούτοις μόνοις ἀρκεσθεὶς τῷ λουτῆρι καὶ τὸ Πίερι ἔμελλε μὲν ἐπὶ τὸ Ι καὶ Ρ μεταβῆναι· ἀλλ᾽ ἐπεὶ ὀλίγα τῶν ὀνομάτων εἰς Ι καὶ Ρ λήγει καὶ οὐδὲ ταῦτα εἰς καθαρὸν τὸ Ι ἀλλ᾽ εἰς τὴν ΕΙ δίφθογγον ὡς τὸ Εἴρ καὶ τὸ Ἐλεάζειρ καὶ τὸ εἰνάτειρ, διὰ τοῦτο παραλιπὼν ἐπὶ τὰ εἰς ωρ λήγοντα ἔρχεται καὶ τὸν Νέστορα κανόνα προχειρισάμενος ἐν τούτοις τελεοῖ τὴν εἰς Ρ κατάληξιν· λουτήρ, Πίηρ· ἰδοὺ τὸ η μετὰ τοῦ ρ· Νέστωρ· ἰδοὺ τὸ ω μετὰ τοῦ ρ· εἰς αρ γὰρ ἢ εἰς ερ ἢ εἰς ορ ἢ εἰς ουρ οὐχ εὑρήκαμεν ἀρσενικοῦ ὀνόματος ἑλληνικοῦ κατάληξιν.

104 Καὶ λοιπὸν ἐπεὶ περὶ τούτων ἄριστα ἐδίδαξεν ἀκολούθως καὶ ἐπὶ τὸ πέμπτον τελικὸν σύμφωνον τῶν ἀρσενικῶν ὀνομάτων τὸ Ψ μεταβαίνει, καὶ πάντα τὰ ἄλλα καταλιπὼν φωνήεντα τὸ Α, τὸ Ι, τὸ Ο, τὸ Υ, ἐπὶ τὸ μέγα Ω μετέρχεται καὶ περὶ τῶν εἰς ωψ ὀνομάτων διδάσκει, τὸν Κύκλωπα κανόνα προχειρισάμενος. Καὶ μὴν ἀπορήσειεν ἄν τις μάλα δικαίως, καί· διατί ποτ᾽ ἄν, ὦ ἄριστε τεχνικῶν, εἴποι πρὸς αὐτόν, περὶ τῆς εἰς ψ καταλήξεως μέλλων διδάσκειν οὐ τὴν συνήθη σου ἀκολουθίαν κἀνταῦθα ἐφύλαξας; καὶ πρῶτον μὲν περὶ τῶν εἰς αψ διέλαβες ὀνομάτων, οἷόν ἐστιν τὸ Ἄραψ, ἔπειτα περὶ τῶν εἰς ιψ, οἷόν ἐστι τὸ ἴψ, ὃ σημαίνει τὸν σκώληκα, ἔπειτα περὶ τῶν εἰς οψ, οἷόν ἐστι τὸ Αἰθίοψ καὶ τὸ μέροψ, ἔπειτα περὶ τῶν εἰς υψ, οἷόν ἐστι τὸ γρύψ, καὶ τελευταῖον περὶ τῶν εἰς ωψ μέγα διέλαβες, ἀλλ᾽ ἐκεῖνα πάντα καταλιπὼν τοῦ τελευταίου μόνου, λέγω δὴ τοῦ Ω μεγάλου, πεφρόντικας; ταῦτα μὲν ἀπορήσειεν ἄν τις τῷ τεχνικῷ δικαίως· ὁ δὲ τεχνικὸς ἀποκρινεῖται πρὸς αὐτόν· δικαιότερον καὶ εὔλογον εἴπῃ σοῦ τὸ ἀπόρημα, πλὴν ἐγὼ τὴν πολυλογίαν μισῶν καὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν πολλάκις, ἐπειδὴ ἑώρων τὰ εἰς αψ ὀνόματα καὶ τὰ εἰς ιψ, ἔτι δὲ τὰ εἰς οψ καὶ τὰ εἰς υψ, ἅπαντα μετὰ τῆς αὐτῆς περιττοσυλλαβίας κλινόμενα (ὡς γὰρ τὸ ἴψ ἰπός, οὕτω καὶ τὸ γρύψ γρυπός καὶ Αἰθίοψ Αἰθίοπος καὶ τὸ Κύκλωψ Κύκλωπος)· περιττὸν ἡγησάμενος τὸ νὰ αὐτὰ πολλάκις λέγειν καὶ ἀδολεσχεῖν περὶ τῶν αὐτῶν, ἕνα μόνον κανόνα τὸν Κύκλωπα προκεχείρισμαι, διὰ τοῦτο μόνον διδάσκων περὶ πάσης τῆς εἰς ψ καταλήξεως· ἄλλως τε τὰ μὲν εἰς οψ καὶ ιψ καὶ εἰς υψ ὀνόματα λήγοντα πάνυ ὀλιγοστά (sic) εἰσι καὶ δυσεύρετα· διὰ τοῦτο καὶ οὐκ ἀναγκαῖον ἦν περὶ τούτων διδάσκειν.

105 τῶν γὰρ ὡς ἐπιτοπολὺ λεγομένων, οὐ τῶν ὀλιγάκις, τεχνίτης ὁ γραμματικός ἐστιν. Τὰ δὲ εἰς ωψ, ἐπεὶ πολλά εἰσι καὶ ποικίλα καὶ πανταχοῦ τῶν βίβλων φερόμενα, διὰ τοῦτο κἀμοὶ προτετίμηνται καὶ κανόνα τούτων ἐποιησάμην τὸν Κύκλωπα. Εἶδες, βασιλικωτάτη μοι κεφαλή, θαυμαστὴν εὐταξίαν ἐν τοῖς κανόσι τούτοις καὶ ὅπως διὰ τριάκοντα καὶ πέντε μόνων

ὀνομάτων ἅπαντα τὰ ἀρσενικὰ ἑλληνικὰ ὀνόματα σαφῶς σοι καὶ τεχνικῶς ὁ τεχνικὸς παρεστήσατο. Ὅρα λοιπὸν κἀνταῦθα ὅτι, ὁποῖον οὖν προσπέσῃ σοι ὄνομα, ἐρεύνα μοι τὸ τέλος αὐτοῦ καὶ εἰ μὲν εἰς Σ λήγει ἀνάδραμε εἰς τοὺς εἰς Σ λήγοντας κανόνας καὶ οἵῳ ἂν αὐτῶν ἐστιν ἐμφερὲς πρὸς ἐκεῖνον ἀπευθύνουσα κλῖνον, καὶ τοῦτο κλίνοις ἂν ἀσφαλῶς· εἰ δὲ εἰς Ν ἐκεῖνο περατοῦται τὸ ὄνομα ἀνάλεξαι μοι πάλιν τοὺς εἰς Ν περατουμένους κανόνας καὶ τὸν ὅμοιον ἐκείνῳ εὑροῦσα ὁμοίαν καὶ τὴν κλίσιν αὐτῷ ποίησον· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ἀλλ’ ἐπεὶ τὴν μέθοδον ἔγνωκας ἐξ ἀρχῆς ἀναλαβόντες τὸν λόγον περὶ τοῦ Αἴαντος λέγομεν τὰ περιττὰ παρεῶντες, τὰ δὲ καιριώτερα καὶ ἀνυσιμώτερα λέγοντες. Καὶ πρῶτον περὶ τῆς κλίσεως τῶν ὀνομάτων λεκτέον. Περὶ τῆς κλίσεως τῶν ὀνομάτων.

106 Ἅπασα τοίνυν κλίσις ὀνομάτων ἐκ τῆς εὐθείας εἰς τὴν γενικὴν κλινομένη καὶ τρεπομένη, διὸ καὶ κλίσις ὠνόμασται, ἢ περιττοσυλλάβως γίνεται ἢ ἰσοσυλλάβως· εἰ μὲν οὖν περιττοσυλλάβως, ἄθρει μοι τὴν ἀκολουθίαν· τηνικαῦτα γὰρ ἐκ μὲν τῆς εὐθείας ἡ γενικὴ γίνεται καὶ λήγει ἐξ ἀνάγκης εἰς ος· ἐκ δὲ τῆς γενικῆς ἡ δοτικὴ πάλιν γίνεται καὶ λήγει καὶ αὐτὴ ἐξ ἀνάγκης εἰς Ι ἐκφωνούμενον, ἐκ δὲ τῆς δοτικῆς ἡ αἰτιατικὴ καὶ περαίνεται πάντως εἰς Α· ἡ δὲ κλητικὴ ὡς ἐπὶ τὸ πολὺ μὲν ἀπὸ γενικῆς ἐστι τῆς τελευταίας συλλαβῆς ἀποβαλλομένης ἢ πάσης ἢ τῶν ἐσχάτων ταύτης στοιχείων, τοῦ Ο δηλονότι καὶ τοῦ Σ, ἐνίοτε δὲ καὶ τῇ εὐθείᾳ ὁμοφωνεῖ, ἢ καθ’ ἑτέρους γίνεται τρόπους, οὓς ἐν τοῖς οἰκείοις τόποις ἐροῦμεν. Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν καὶ αἰτιατικὴ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται καὶ λήγει ἐξ ἀνάγκης εἰς Ε. Καὶ μὴ θαυμάσῃς, ἐὰν εἴπω σοι αἰτιατικὴν τῶν δυϊκῶν. Γίνωσκε γάρ, ὅτι ἐν τοῖς δυϊκοῖς πτώσεις συνανακίρνανται, καὶ ἡ μὲν εὐθεῖα καὶ ἡ αἰτιατικὴ μία γίνεται, δι’ ἣν ἔχουσι πρὸς ἀλλήλας οἰκειότητα. Ἴδε γὰρ καὶ τὸν τεχνικὸν, ὅτι πανταχοῦ ταύτας μιγνύει λέγων· ὅτι πᾶσα ὀρθὴ καὶ αἰτιατικὴ μὴ οὖσα ἀπὸ συναιρέσεως ὀξύνεται, καὶ πάλιν πᾶν ἄρθρον ὀρθῆς καὶ αἰτιατικῆς· διὰ τοῦτο γοῦν καὶ διὰ τὴν τούτων ὡς εἶπον συγγένειαν ἐν τοῖς δυϊκοῖς εἰς ταὐτὸν συνῆλθον ἡ εὐθεῖα καὶ ἡ αἰτιατική· καὶ πάλιν ἡ γενικὴ καὶ δοτικὴ εἰς ἓν συνέδραμον καὶ μία πτῶσις ἐγένοντο· διότι καὶ αὗται συγγενεῖς ἀλλήλαις εἰσίν. Ἴδε μοι γὰρ καὶ τὸν τεχνικόν, ὅπως καὶ ταύτας ἁπανταχοῦ μίγνυσι λέγων· πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος· καὶ διὰ τοῦτο καὶ τέσσαρες πτώσεις τοῖς δυϊκοῖς δύο μόναι γεγένηνται.

107 Ἀλλ’ ὅπερ ἔλεγον ἐκ μὲν τῆς δοτικῆς τῶν ἑνικῶν [ἡ] τῶν δυϊκῶν ἡ εὐθεῖα καὶ ἡ αἰτιατικὴ γίνεται καὶ λήγει πάντοτε καθάπερ εἶπον εἰς Ε· ἐκ δὲ ταύτης πάλιν ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν κανονίζεται καὶ περατοῦται ἐξ ἀνάγκης εἰς ΟΙΝ· ἐπεὶ γὰρ μέσα ἑνικῶν καὶ πληθυντικῶν εἰσι τὰ δυϊκὰ καὶ ὡς εἶπον αἱ πτώσεις συνακίρνανται, δικαίως εἰς οιν λήγει ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν, τὸ μὲν ο λαβοῦσα ἀπὸ τῆς γενικῆς τῶν ἑνικῶν, τὸ δὲ ι ἀπὸ τῆς δοτικῆς, τὸ δὲ ν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν· ἀλλ’ οὕτω μὲν ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν· ἡ δὲ κλητικὴ τῶν δυϊκῶν τῇ ἑαυτῆς εὐθείᾳ ὁμόφωνός ἐστιν ἀεί. Ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν δυϊκῶν γίνεται καὶ περατοῦται εἰς ΕΣ, ἐκ δὲ ταύτης ἡ γενικὴ τῶν πληθυντικῶν καὶ περατοῦται εἰς ΩΝ. Ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν ποτὲ μὲν ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν γίνεται, ποτὲ δὲ ἀπὸ τῆς δοτικῆς· ὅθεν δ’ ἂν γένηται τελευταῖον αὐτῆς ἐστι τὸ Ι. Ἡ δὲ αἰτιατικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς αἰτιατικῆς τῶν ἑνικῶν κανονίζεται καὶ εἰς ΑΣ βραχὺ τελευτᾷ, ἡ δὲ κλητικὴ καὶ αὐτὴ τῇ αὐτῆς εὐθείᾳ ἐστὶν ὁμόφωνος· ἀλλὰ τοιαύτη μὲν ἡ περιττοσύλλαβος κλίσις· καὶ ταύτῃ ἀκολουθοῦσα ὀρθῶς ἂν καὶ μετὰ ἀσφαλείας ἅπαν περιττοσυλλάβως κλινόμενον ὄνομα κλίνῃς· περὶ δὲ τῶν ἰσοσυλλάβως κλινομένων ἤδη λέγομεν. Περὶ τῶν ἰσοσυλλάβως κλινομένων.

108 Τῶν τοίνυν ἰσοσυλλάβως κλινομένων ὀνομάτων ἐκ μὲν τῆς εὐθείας ἡ γενικὴ γίνεται καὶ λήγει ὡς ἐπιτοπλεῖστον εἰς ΟΥ, ἐνίοτε δὲ καὶ εἰς Α, ὡς Λουκᾶς Λουκᾶ καὶ Θωμᾶς Θωμᾶ· ἐκ δὲ τῆς γενικῆς ἡ δοτικὴ κανονίζεται· καὶ ὅταν μὲν εἰς μικρὸν φωνῆεν λήγῃ ἀντίστοιχον ἔχει δὲ ἀεὶ τὸ

Ι ὑποκατωγραφόμενον καὶ μὴ ἐκφωνούμενον· ἡ δὲ αἰτιατικὴ ἀπὸ τῆς εὐθείας γίνεται καὶ λήγει εἰς Ν· ἡ δὲ κλητικὴ ἀπὸ τῆς εὐθείας γίνεται καὶ αὐτή· τριπλῆν δὲ ἔχει τὴν κλίσιν· ἢ γὰρ εἰς Α ἢ εἰς Η ἢ εἰς Ε λήγει. Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται καὶ ὡς ἐπὶ τὸ πολὺ μὲν ὁμόφωνός ἐστιν αὐτῇ· ὅταν δὲ ἡ δοτικὴ εἰς Η λήγει, τότε οὐκ ἔστιν ὁμόφωνος· λήγει γὰρ αὐτὴ εἰς Α· ἡ δὲ γενικὴ καὶ δοτικὴ γίνεται μὲν ἀπὸ τῆς εὐθείας τῶν δυϊκῶν· λήγει δὲ ποτὲ μὲν εἰς ΑΙΝ, ποτὲ δὲ εἰς ΟΙΝ· ἡ δὲ κλητικὴ τῶν δυϊκῶν τῇ ἑαυτῆς εὐθείᾳ ὁμοφωνεῖ. Ἡ δὲ τῶν πληθυντικῶν εὐθεῖα γίνεται μὲν ἀπὸ τῆς εὐθείας τῶν δυϊκῶν, λήγει δὲ εἰς ΑΙ ἢ εἰς ΟΙ· ἡ δὲ γενικὴ τῶν πληθυντικῶν ἐκ τῆς ἰδίας εὐθείας κανονίζεται καὶ εἰς ΩΝ λήγει· καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν ἐκ τῆς αὐτῆς εὐθείας προέρχεται περατοῦται δὲ εἰς ΑΙΣ ἢ εἰς ΟΙΣ· ἔτι δὲ καὶ ἡ αἰτιατικὴ αὐτῶν ἐκ τῆς εὐθείας αὐτῆς γίνεται, περαίνεται δὲ ἢ εἰς ΑΣ ἢ εἰς ΟΥΣ· ἡ μέντοι κλητικὴ τῇ ἑαυτῆς εὐθείᾳ ὁμοφωνεῖ. Τούτων οὕτω προδιασαφηθέντων ἐκ τοῦ Αἴαντος ἤδη τὴν ἀρχὴν προβαλλόμενος λέγομεν μηδὲν πλέον ἐξιχνιάζοντες ἢ τὴν κλίσιν ἑκάστου κανόνος· ἐὰν γὰρ ταύτην ἐπιγνωσώμεθα μόνην, εἴτε περιττοσύλλαβός ἐστιν εἴτε ἰσοσύλλαβος, ἕξομεν ἤδη καὶ τῶν ἄλλων πτώσεων ἀκριβῶς διάγνωσιν. Ἀρχὴ τῶν ἀρσενικῶν κανόνων.

109 Καν. α′. Κλίνεται τοίνυν Αἴας Αἴαντος. Καὶ διατί; διότι τὰ εἰς ας καθαρὸν ὀνόματα δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ΝΤ κλίνεται · [οὐχ] ἅπαντα τὰ εἰς ας, ἀλλὰ τὰ εἰς ας καθαρόν· καθαρὰ δὲ λέγομεν, ὅταν δύο φωνηέντων ἐν δυσὶ συλλαβαῖς μηδὲν μεσοσυλλαβῇ σύμφωνον. Ἰδοὺ γὰρ τὸ μέλας ὄνομά ἐστιν εἰς ας λῆγον ἀλλὰ διὰ μόνου τοῦ Ν· οὐ γάρ ἐστι μέλας μέλαντος, ἀλλὰ μέλας μέλανος. Καὶ οὐδὲ πάλιν πάντα τὰ εἰς ας καθαρὸν διὰ τοῦ ντ κλίνεται ἀλλὰ τὰ εἰς ας καθαρὸν δισύλλαβα· τὸ γὰρ Αἰνείας ὄνομά ἐστιν εἰς ας καθαρὸν λῆγον, ἀλλὰ διὰ τὸ μὴ εἶναι δισύλλαβον οὐ κλίνεται διὰ τοῦ ντ, ἀλλὰ διὰ τῆς ου· οὐ γάρ ἐστιν Αἰνείας Αἰνείαντος· ἀλλὰ Αἰνείας Αἰνείου· καὶ οὐδὲ πάντα τὰ εἰς ας καθαρὸν δισύλλαβα διὰ τοῦ ντ κλίνεται, ἀλλὰ τὰ εἰς ας καθαρὸν δισύλλαβα βαρύτονα· τὸ γὰρ Ἀρκάς ὄνομά ἐστι δισύλλαβον εἰς ας· ἀλλά, διὰ τὸ μεσοσυλλαβοῦν τὸ κ εἶναι ὀξύτονον καὶ μὴ βαρύτονον, οὐ κλίνεται Ἀρκάς Ἀρκάντος ἀλλὰ Ἀρκὰς Ἀρκάδος. Ἔτι δὲ οὐχ ἁπλῶς τὰ εἰς ας καθαρὸν δισύλλαβα βαρύτονα διὰ τοῦ ντ κλίνονται, εἰ μὴ μακροκατάληκτα ᾖ· τὸ γὰρ λᾶας ὄνομά ἐστιν εἰς ας καθαρὸν λῆγον καὶ δισύλλαβον καὶ βαρύτονον, ἀλλὰ διὰ τὸ μὴ εἶναι μακροκατάληκτον οὐ κλίνεται λᾶας λάαντος, ἀλλὰ λᾶας λᾶα· ὅταν τοίνυν εὕρῃς ὄνομα εἰς ας λῆγον καθαρόν, ἔστι δὲ τὸ ὄνομα τοῦτο καὶ δισύλλαβον καὶ βαρύτονον καὶ μακροκατάληκτον, ἐκεῖνό μοι κλῖνον διὰ τοῦ ντ, ὡς τὸ Δρύας Δρύαντος, Θόας Θόαντος, Ὕας Ὕαντος· ἔνθα δὲ ἐλλείπει τι τούτων μὴ κλῖνέ μοι τοῦτο διὰ τοῦ ντ πλὴν ὀλίγων· τὸ γὰρ Κάλχας Κάλχαντος εἰς ας λῆγον οὐ καθαρὸν ὅμως διὰ τοῦ ντ κλίνεται· ἔτι δὲ καὶ τὸ γίγας γίγαντος καὶ τὸ ἀδάμας ἀδάμαντος μὴ ὄντα καθαρὰ ἢ δισύλλαβα· τέως δὲ ὡς ἐπὶ τὸ πλεῖστον τὰ καθαρὰ καὶ δισύλλαβα καὶ βαρύτονα καὶ μακροκατάληκτα ἐκεῖνα διὰ τοῦ ντ κλίνονται· ἐπεὶ δὲ περιττοσυλλάβως ὁ Αἴας κλίνεται κατὰ τὴν δοθεῖσαν τῶν περιττοσυλλάβων κλινομένων ἀκολουθίαν τὴν ἅπασαν κλίσιν τούτου ἀπέργασαι.

110 Κα ν . β ′ . Ὁ κοχλίας · ἔστι μὲν καὶ αὐτὸς τῶν εἰς ας καθαρὸν ληγόντων ὀνομάτων, κλίνεται δὲ ἰσοσυλλάβως κοχλίας κοχλίου. Διατί; ὅτι τὰ εἰς ας καθαρὸν ὀνόματα ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα εἰς ου ἔχει τὴν γενικήν · τὰ γὰρ εἰς ας καθαρὸν εἰ μὲν δισύλλαβα ᾖ διὰ τοῦ ντ κλίνεται, ὡς ἐδείξαμεν· εἰ δὲ ὑπὲρ δύο συλλαβάς, ἐκεῖνα διὰ τῆς ου κλίνεται· πλὴν οὐχ ἁπλῶς τὰ εἰς ας καὶ ὑπὲρ δύο συλλαβὰς ὄντα, ἀλλὰ καὶ ἁπλᾶ τυγχάνοντα καὶ βαρύτονα. Τὸ γὰρ ἀδάμας καὶ εἰς ας λήγει καὶ ὑπὲρ δύο συλλαβάς ἐστιν· ἀλλ’ ἐπειδὴ μὴ ἔστιν ἁπλοῦν, σύγκειται δὲ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ δαμάζω, διὰ τοῦτο οὐ κλίνεται ἀδάμας ἀδάμου, ἀλλὰ ἀδάμας ἀδάμαντος· ἔστι δὲ καὶ τὸ ἀνδριάς εἰς ας καθαρὸν καὶ ὑπὲρ δύο συλλαβὰς καὶ ἁπλοῦν, ἀλλ’ ἐπεὶ οὐκ ἔστι βαρύτονον ἀλλ’ ὀξύτονον διὰ τοῦτο ἀνδριάς ἀνδριάντος κλίνεται καὶ οὐκ ἀνδριάς ἀνδριοῦ. Ὅσα τοίνυν εἰς ας καθαρὸν ὀνόματα λήγοντα εὕρῃς ὑπὲρ δύο συλλαβάς, εἴτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρισύλλαβα ὡς τὸ Αἰνείας Ἀνδρέας, εἴτε τετρασύλλαβα ὡς τὸ Ἀνανίας νεανίας εἰσί, καὶ ταῦτα καὶ ἁπλᾶ καὶ βαρύτονα, ἐκεῖνα κλῖνε διὰ τῆς ου καὶ εὐθυτάτην ἂν τὴν κλίσιν ἐργάσαιο· εἰ γὰρ σέ τις οὕτω τυχὸν ἔροιτο· πῶς σοί, ὦ βασίλισσα, ὁ Ἀδρίας κλιθήσεται; κόλπος δέ ἐστιν οὗτος ὁ Ἀδρίας, ἐξ οὗ καὶ τὸ ἀδριατικὸν λέγομεν τὸ πέλαγος· ἴδε μοι τοῦτο τὸ ὄνομα, ἐπεὶ εἰς ας λήγει καθαρὸν τὸ Ἀδρίας, ἔστι δὲ καὶ ὑπὲρ δύο συλλαβάς, τρισύλλαβον γάρ· ἔστι δὲ καὶ ἁπλοῦν, ἀσύνθετον γάρ, ὑπάρχει δὲ καὶ βαρύτονον, παροξύτονον γάρ· ἀπόκρινέ μοι θαῤῥούντως πρὸς τὸν ἐρωτήσαντα, ὅτι ὦ ἄνθρωπε Ἀδρίας Ἀδρίου κλίνω καὶ οὐκ οἶμαι τὴν κλίσιν ποιῆσαι παράλογον· ἀλλ' ἐπειδὴ τὸ κοχλίας κοχλίου ἰσοσυλλάβως ἐφάνη κλινόμενον ἔπελθέ μοι καὶ τὰς ἄλλας ἁπάσας πτώσεις κατὰ τοὺς προϋφηγηθέντας σοι τρόπους τῆς ἰσοσυλλάβου κλίσεως· τὰ μὲν οὖν εἰς ας ὀνόματα οὕτως ἐπιγνώσῃ καὶ κλινεῖς.

111 τὰ δὲ εἰς ης ἤδη μοι σκόπει. Κα ν . γ ʹ . Ὁ Λάχης · ἔστι μὲν εἰς ης ληγόντων καὶ οὗτος· κλίνεται δὲ περιττοσυλλάβως διὰ τοῦ τος· τὰ γὰρ εἰς ης βαρύτονα ἰαμβικ ά , μὴ ἔχοντα ἐ π ʼ εὐθείας τὸ Τ , εἰς τος ἔχει τὴν γενικήν · οὐ γὰρ ἁπλῶς τυγχάνοντα· ἰαμβικά δὲ λέγονται, ὅσα τὴν μὲν λήγουσαν μακράν, βραχεῖαν δὲ τὴν παραλήγουσαν· ἐκεῖνα διὰ τοῦ τος κλίνονται· ἀλλ' ὅσα μηδὲ ἔχουσιν ἐπ' εὐθείας τὸ Τ. Τὸ γὰρ Εὐφράτης καὶ βαρύτονόν ἐστιν καὶ ἰαμβικόν, ἅτε εἰς βραχὺ μὲν τὸ φρα παραλῆγον, εἰς δὲ μακρὰν τὸ της λῆγον· ἀλλ' ἐπειδὴ ἐπ' εὐθείας ἔχει τὸ Τ, οὐ κλίνεται διὰ τοῦ τος περιττοσυλλάβως· οὐ γάρ ἐστιν Εὐφράτητος, ἀλλ' Εὐφράτου· τὸ δὲ Λάχης, λέβης καὶ Πάχης καὶ Κέβης, ἐπεὶ μὴ ἔχουσιν ἐπ' εὐθείας τὸ Τ διὰ τοῦ τος κλίνονται Λάχης Λάχητος, Πάχης Πάχητος, Κέβης Κέβητος, Δάρης Δάρητος. Κλιθήτω σοι καὶ οὗτος ὁ κανὼν περιττοσυλλάβως. Κα ν . δ ʹ . Ὁ Χρύσης · λήγει μὲν καὶ αὐτὸς εἰς ης καθάπερ δὴ καὶ ὁ Λάχης καὶ βαρύτονός ἐστιν ὡς αὐτός, οὐ κλίνεται δὲ ὁμοίως αὐτῷ κατὰ περιττοσυλλαβίαν, διότι οὐκ ἔστιν ἰαμβικός, ἀλλ' ἰσοσυλλάβως εἰς ου ποιεῖ τὴν κλίσιν· τὰ γὰρ εἰς ης βαρύτονα σπονδειακὰ εἰς ου ἔχει τὴν γενικήν · σπονδειακὰ δὲ λέγονται· ὅσα γὰρ τὴν λήγουσαν καὶ παραλήγουσαν μακρὰν ἔχουσιν ἀρίθμει μοι εἰς τουτονὶ τὸν κανόνα μετὰ τῶν ἰσοσυλλάβως κλινομένων.

112 Κα ν . έ . Ὁ Δημοσθένης · ἔστι μὲν [καὶ] αὐτὸς τῶν εἰς ης· κλίνεται δὲ οὔτε εἰς τος ὡς Λάχης οὔτε εἰς ου ὡς Χρύσης, ἀλλὰ διὰ καθαροῦ τοῦ ος καὶ κατὰ συναίρεσιν εἰς ους, ὡς εἶναι τὸν αὐτὸν καὶ περιττοσυλλάβως καὶ ἰσοσυλλάβως κλινόμενον· ὅταν μὲν γὰρ Δημοσθένης Δημοσθένεος εἴπω, περιττοσυλλάβως τὴν κλίσιν ἐποιησάμην· ὅταν δὲ Δημοσθένης Δημοσθένους, ἰσοσυλλάβως. Καὶ ἀπορήσεις ἐντεῦθεν, πῶς ἐπεὶ καὶ τὸ Δημοσθένης ἰαμβικόν ἐστιν ὄνομα, ἅτε τὴν παραλήγουσαν βραχεῖαν ἔχων, μακρὰν δὲ τὴν λήγουσαν, οὐ κλίνεται καὶ αὐτὸς διὰ τοῦ τος; ἀλλ' ἐγὼ μέν σοι λύσω τὴν ἀπορίαν καὶ ὑποδείξω τὸν τρόπον, δι' οὗ ἂν ἔχῃς ἐπιγινώσκειν τὰς κλίσεις τῶν εἰς ης ὀνομάτων· ὅσα μὲν γὰρ κυρίως εἰσὶν ἰαμβικά· κυρίως δὲ ἰαμβικά εἰσι τὰ δισύλλαβα καὶ βραχεῖαν μὲν τὴν παραλήγουσαν, μακρὰν δὲ τὴν λήγουσαν ἔχοντα· μὴ ἔχουσι δὲ τὸ Τ ἐπ' εὐθείας, ἐκεῖνα ἐξ ἀνάγκης διὰ τοῦ τος κλίνονται. Ὅσα δὲ σύνθετά εἰσιν ἀπὸ οὐδετέρων ὀνομάτων ληγόντων εἰς ος, ἐκεῖνα διὰ τοῦ εος κλίνονται· οἷόν τι λέγω τὸ Δημοσθένης καὶ Ἀντισθένης, ἐπεὶ σύγκειται ἀπὸ τοῦ σθένος, ὅπερ ἐστὶν οὐδέτερον ὄνομα, διὰ τούτου τὴν αὐτοῦ μιμησάμενα κλίσιν διὰ τοῦ εος κλίνεται, ὡς γὰρ σθένος σθένεος, οὕτω καὶ Δημοσθένης Δημοσθένεος. Ὁμοίως καὶ τὸ Εὐθυκράτης καὶ Ἀριστοκράτης ἐπεὶ ἀπὸ οὐδετέρου ὀνόματος τοῦ κράτος συντέθεινται διὰ τοῦτο διὰ τοῦ εος κλίνονται· ὡς γὰρ κράτος κράτεος οὕτω καὶ Ἀριστοκράτης Ἀριστοκράτεος· οὐ μόνον δὲ ἐπὶ τῶν βαρυτόνων οὕτως ἔχει, ἀλλὰ καὶ ἐπὶ τῶν περισπωμένων· τὸ γὰρ Ἡρακλῆς καὶ τὸ Περικλῆς ἐπεὶ ἀπὸ οὐδετέρου ὀνόματος σύγκειται τοῦ κλέος διὰ τοῦ εος καὶ ταῦτα ποιοῦσι τὴν γενικήν· Ἡρακλέος γὰρ καὶ Περικλέος λέγομεν· ἀλλ' οὕτω μὲν τὰ εἰς ης λήγοντα ὀνόματα· ἐπιγνώσῃ δὲ τὰ εἰς ις ἐντεῦθεν.

113 Καν. ϛʹ. ζʹ. Ὁ Πάρις · ἔστι μὲν τῶν εἰς ις ληγόντων, κλίνεται δὲ περιττοσυλλάβως εἰς δος. Τῶν γὰρ εἰς ις ὀνομάτων ὅσα εἰσὶ κύρια (κύρια δὲ λέγονται τὰ ἰδικῶς ἑνὶ ἑκάστῳ προσαρμόττοντα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς ἐμοὶ τὸ Θεόδωρος καὶ τῷ δεῖνι τὸ Νικόλαος), διὰ τὸ ιδος κλίνονται · τὸ γὰρ Πάρις καὶ τὸ Ἄδωνις καὶ τὸ Βένδις· ἔτι δὲ καὶ το Κούνουφις καὶ τὸ Σέφνουφις κύρια ὀνόματα διὰ τοῦ δος κλίνονται. Πάριδος, Ἀδώνιδος, Βένδιδος, Κουνούφιδος· εἰ δὲ κύρια [μὲν] οὐκ εἰσὶ, κοινὰ δὲ τῷ γένει ὑπάρχουσι καὶ μακροκατάληκτα· κοινὰ δὲ τῷ γένει ἐκεῖνα λέγομεν, ὅσα ἀρσενικῶς καὶ θηλυκῶς δύνανται λέγεσθαι, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὁ κύων καὶ ἡ κύων· ἐκεῖνα διὰ τοῦ θος κλίνονται· τὸ γὰρ ὄρνις ἐπεὶ κοινόν ἐστι τῷ γένει λέγομεν ὁ ὄρνις καὶ ἡ ὄρνις διὰ τοῦτο εἰς θος κλίνεται καὶ οὐκ εἰς δος· ὄρνιθος γάρ, ἀλλ' οὐκ ὄρνιδος λέγομεν· ὅσα δὲ τῶν εἰς ις οὔτε κύριά εἰσιν ὡς τὸ Πάρις, οὔτε μακροκατάληκτα ὡς τὸ ὄρνις, ἀλλὰ βραχυκαταληκτοῦσι καὶ εἰσὶ προσηγορικά· προσηγορικὸν δὲ λέγεται ὄνομα τὸ ἁρμόττον ὅλῳ τῷ εἴδει, οἷον τὸ γρύψ προσηγορικόν ἐστιν· ὅλοις γὰρ ἁρμόττει γρυψίν, τὴν τῶν γρυπῶν γὰρ φύσιν πᾶσαν σημαίνει, ὡσαύτως δὲ καὶ ὁ ὄφις · ὅλοις γὰρ ἁρμόττει τοῖς ὄφεσιν· ἐκεῖνα οὔτε εἰς θος οὔτε εἰς δος κλίνονται, ἀλλὰ διὰ καθαροῦ τοῦ ος τὴν οἰκείαν κλίσιν ποιοῦνται ὄφιος μάντιος.

114 Κα ν . ή . Ὁ χαρίεις · ὅσα δὲ καὶ τῶν εἰς εις διφθογγίζονται· διφθογγίζονται δὲ ἐκεῖνα ὅσα παρώνυμα ἀφ' ἑτέρων λεγόμενα καθαρὸν ἔχει τὸ εις· ἐκεῖνα διὰ τοῦ ντ κλίνονται, οἷον τὸ χαρίεις· τοῦτο γὰρ ὄνομά ἐστι παρώνυμον· ἀπὸ γὰρ τοῦ χάρις παράγεται καὶ καθαρὸν ἔχει τὸ εις· οὐδὲν γὰρ μέσον τῆς ληγούσης καὶ τῆς παραληγούσης σύμφωνον ἐπιφέρεται, καὶ διὰ τοῦτο χαρίεντος κλίνεται, ὥσπερ καὶ τὸ τιμήεις τιμήεντος καὶ τὸ ἐρώεις ἐρώεντος· ἀλλ' ἐπεὶ καὶ τὸ Πάρις καὶ τὸ ὄρνις καὶ τὸ ὄφις καὶ τὸ χαρίεις περιττοσυλλάβως κλίνονται, οἶδάς μοι τὸν τρόπον ὅπως αὐτοὺς μεχρὶ τέλους κλινεῖς. Κα ν . θ ʹ . Ὁ Πηλεύς · τῶν δὲ εἰς ευς ὀνομάτων ἁπλῆ ἐστιν ἡ κλίσις· πάντα γὰρ ταῦτα περιττοσυλλάβως διὰ τοῦ εος κλίνονται, ἰωνικῶς μὲν διὰ τοῦ ος μικροῦ, ἀττικῶς δὲ διὰ τοῦ ως μεγάλου. ταῦτα γὰρ οἱ μὲν Ἴωνες ταπεινόφρονες ἄνδρες ἦσαν καὶ ἄκομψοι καὶ διὰ τοῦτο μικρὰ καταφρονεῖν ἐθέλοντες καὶ φωνεῖν διὰ τοῦ Ο μικροῦ τὰς οἰκείας κλίσεις εἰργάζοντο· οἱ δὲ Ἀττικοὶ ὡς ἀλαζόνες καὶ μεγαλόφρονες μεγεθύνειν καὶ τὰς παρ' αὐτῶν ἠβούλοντο κλίσεις· τέως δὲ κοινῷ λόγῳ πάντα τὰ εἰς ευς διὰ τοῦ εος κλίνονται Πηλεύς Πηλέος, Οἰονεύς Οἰονέος, Ἀτρεύς Ἀτρέος, Ἀχιλλεύς Ἀχιλλέος καὶ τὰ ὅμοια. Κα ν . ί . Ὁ ἡδύ ς . ἔστι μὲν τῶν εἰς υς ληγόντων ὀνομάτων, κλίνεται δὲ περιττοσυλλάβως ἡδύς ἡδέος· οὐ φυλάσσει δὲ τὸ υ ἐπὶ γενικῆς· διὸ τριγενές ἐστι τοῦτο τὸ ὄνομα· ὁ ἡδύς, ἡ ἡδεῖα, τὸ ἡδύ. Τῶν γὰρ εἰς υς ὀξυτόνων ὀνομάτων τὰ μὲν τριγενῆ οὐ φυλάσσουσι τὸ υ ἐπὶ γενικῆς ἀλλὰ διὰ τοῦ εος κλίνονται. τὸ γὰρ ταχύς οὐ ταχύος, ἀλλὰ ταχέος κλίνεται, καὶ τὸ γλυκύς οὐ γλυκύος ἀλλὰ γλυκέος κλίνεται, διότι τριγενῆ ἐστιν.

115 Ἔστι γὰρ ὁ ταχύς καὶ ὁ γλυκύς, ἡ ταχεῖα ἡ γλυκεῖα, τὸ ταχύ καὶ τὸ γλυκύ· τὸ δὲ ἰχθύς φυλάσσει τὸ υ καὶ ἐπὶ γενικῆς καὶ ἰχθύος κλίνεται διότι μονογενὲς καὶ οὐ τριγενές ἐστιν. Ἐπὶ μόνου γὰρ ἀρσενικοῦ εὑρίσκομεν ὁ ἰχθύς· ἐπὶ δὲ θηλυκοῦ ἢ ἐπὶ οὐδετέρου οὐδέποτε εὕρηται ἡ ἰχθύς ἢ τὸ ἰχθύ. Ὅταν τοίνυν εἰς υς ὀξύτονον εὕρῃς ὄνομα, ἐρεύνα μοι τοῦτο καὶ εἰ μὲν δύνασαι ἐκ τούτου καὶ θηλυκὸν καὶ οὐδέτερον συστήσασθαι ὄνομα, οἷον ὁ δριμύς, ὀξύς, βαρύς, ταχύς, βραδύς· δύνασαι γὰρ εἰπεῖν καὶ δριμεῖα καὶ ὀξεῖα καὶ βαρεῖα καὶ ταχεῖα καὶ βραδεῖα καὶ δριμύ καὶ ὀξύ καὶ βαρύ καὶ ταχύ καὶ βραδύ, ἐκεῖνο κλῖνε διὰ τοῦ εος· ὅταν δὲ ἐφ' ἑνὸς μόνον ἐκεῖνο τὸ ὄνομα λέγηται οἷόν ἐστι τὸ δελφύς, ὃ σημαίνει τὴν μήτραν, θηλυκῶς δὲ μόνον λέγεται ἡ δελφύς, ἐκεῖνο τὸ ὄνομα διὰ τοῦ υος κλῖνε καὶ μὴ διὰ τοῦ εος· δελφύος γὰρ καὶ οὐ δελφέος κλίνεται. Κα ν . ια ʹ . Ὁ βότρυς · ἔστι μὲν καὶ αὐτὸς τῶν εἰς υς ὥσπερ καὶ ὁ ἡδύς· βαρύνεται δὲ καὶ οὐκ ὀξύνεται, ὥσπερ ὁ ἡδύς, κλίνεται δὲ διὰ τοῦ υος βότρυς βότρυος· κοινῷ γὰρ λόγῳ τὰ εἰς υς βαρύτονα ἅπαντα τὸ υ φυλάσσει καὶ ἐπὶ τῆς γενικῆς στάχυος, βότρυος, κέγχρυος πλὴν τῶν δύο τούτων πῆχυς πήχεως, καὶ πέλεκυς πελέκεως. ταῦτα γὰρ μόνα σεσημείωνται μὴ φυλάσσοντα τὸ υ καὶ ἐπὶ τῆς γενικῆς· ἐπειδὴ δὲ τὸ ἡδύς καὶ βότρυς περιττοσυλλάβως, ὡς ἔφαμεν, φανερά

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σοι ἡ τούτων κλίσις ἐστίν. Κα ν . ιβ ʹ . ιγ ʹ . Ὁ βοῦς · περιττοσυλλάβως καὶ οὗτος κλίνεται, βοῦς βοός. Διατί; διότι οὐκ ἀπὸ συναιρέσεως ἐπὶ τῆς εὐθείας ἔχει τὴν ου δίφθογγον· οὐ γάρ ἐστι βόος εἶτα κατὰ συναίρεσιν γίνεται βοῦς· ἀλλ' ἁπλῶς οὕτω καὶ ἀσυναιρέτως λέγεται βοῦς· τῶν γὰρ εἰς ους ὀνομάτων τὰ μὲν ἀσυναίρετα περιττοσυλλάβως κλίνεται βοῦς βοός, πούς ποδός, ὀδούς ὀδόντος· τὰ δὲ ἀπὸ συναιρέσεως ἔχοντα τὴν ου ἐκεῖνα ἰσοσυλλάβως διὰ τῆς ου κλίνονται· τὸ γὰρ χροῦς ἐπεὶ ἀπὸ συναιρέσεως γίνεται χρόος χροῦς διὰ τοῦτο χροῦ κλίνεται, οἷόν ἐστι τὸ πλοῦς· ἐπεὶ γὰρ ἀπὸ τοῦ πλόος γίνεται πλοῦς διὰ τοῦτο πλοῦ κλίνεται· πλόος γάρ ἐστι πλόου τὸ ἐντελὲς καὶ πλοῦς πλοῦ τὸ συνῃρημένον· πλὴν σημείωσαί μοι καὶ ἐνταῦθα θαυμαστήν τινα κλίσιν· τὰ μὲν γὰρ εἰς ους ὡς ἔφαμεν ἀσυναίρετα ἐξανάγκης διὰ τοῦ ος περιττοσυλλάβως κλίνεται· βοῦς γάρ ἐστιν ἐξανάγκης βοός καὶ πούς ἐξ ἀνάγκης ποδός· ἐπὶ δὲ τῶν ἐχόντων τὴν ου ἀπὸ συναιρέσεως διπλῆ ἐστιν ἡ κλίσις, ποτὲ μὲν περιττοσυλλάβως, ποτὲ δὲ ἰσοσυλλάβως κλινομένη· καὶ πρόσσχες, πότε μὲν περιττοσυλλάβως, πότε δὲ ἰσοσυλλάβως τὰ τοιοῦτα κλίνονται· τὸ γὰρ πλοῦς καὶ τὸ νοῦς καὶ τὸ ῥοῦς καὶ τὸ χοῦς ὅταν μὲν ὡς ἀπὸ τοῦ πλόος καὶ νόος καὶ ῥόος καὶ χόος γινόμενα λάβῃς, τότε ἰσοσυλλάβως κλῖνε πλοῦ καὶ νοῦ καὶ ῥοῦ καὶ χοῦ, ὅταν δὲ οὐχ ὡς συνῃρημένα λαμβάνῃς ταῦτα, ἀλλ' ὡς ἁπλῶς πλοῦς καὶ χοῦς καὶ τὰ λοιπά, τότε οὐκ ἰσοσυλλάβως κλινεῖς πλοῦς πλοῦ, ἀλλὰ περιττοσυλλάβως διὰ τοῦ ος πλοῦς πλοός καὶ χοῦς χοός, ὥσπερ καὶ τὸ βοῦς βοός.

116 διὰ τοῦτο διπλῆ ἐστιν ἡ κλίσις ἐπὶ τούτων, ὡς ἔφαμεν, καὶ ποτὲ μὲν πλοῦς πλοός πλοΐ κλίνεται, ποτὲ δὲ πλοῦς πλοῦ πλῷ. Ἀλλ' ἤδη καὶ περὶ τῶν εἰς ως μέγα ληγόντων ὀνομάτων λέγομεν. Κα ν .

117 ιδ ʹ . ιε ʹ . ις' Ὁ ἱδρώς τοίνυν ἐστὶ μὲν καὶ οὗτος τῶν εἰς ως μέγα ληγόντων, κλίνεται δὲ ἱδρῶτος, διότι ἐπὶ τέλους ἔχει τὸν τόνον· τὰ γὰρ εἰς ως μέγα ὀξύτονα ὀνόματα διὰ τοῦ τος κλίνεται· ἱδρώς ἱδρῶτος, ἀγνώς ἀγνῶτος, ὃ σημαίνει τὸν ἄγνωστον, φώς φωτός, ὃ σημαίνει τὸν ἄνδρα, καὶ τὰ ὅμοια. Ὁ γέλως ἐστὶ μὲν καὶ οὗτος τῶν εἰς ως μέγα ληγόντων καθάπερ καὶ ὁ ἱδρώς, πλὴν οὐκ ὀξύτονός ἐστιν, ὡς ἐκεῖνος ἀλλὰ βαρύτονος· κλίνεται δὲ ὅμως καὶ οὗτος διὰ τοῦ τος· γέλως γὰρ γέλωτος λέγομεν. διατί; διότι βραχεῖαν ἔχει τὴν παραλήγουσαν· τῶν γὰρ εἰς ως μέγα βαρυτόνων ὀνομάτων τὰ μὲν βραχείᾳ παραληγόμενα διὰ τοῦ τος κλίνεται· ἔρως ἔρωτος, γέλως γέλωτος, Νέπως Νέπωτος· τὰ δὲ μακρὰν τὴν παραλήγουσαν ἔχοντα οὐκέτι διὰ τοῦ τος ἀλλὰ διὰ καθαροῦ τοῦ ος κλίνονται· ἥρως ἥρωος, Μίνως Μίνωος καὶ τὰ ὅμοια. Κα ν . ιζ ʹ . Ὁ Μενέλαος Μενελάου ἰσοσυλλάβως κλίνεται· πάντα γὰρ ἁπλῶς τὰ εἰς ος μικρὸν ὀνόματα εἰς ου κλίνονται· ὅταν δὲ ἀττικῶς Μενέλεως εἴπῃς, οὐ Μενέλαος κατὰ ἀποβολὴν τοῦ Σ κλινεῖς Μενέλεως Μενέλεω· τὴν αἰτίαν, δι' ἣν οὕτω κλίνεται ἐγὼ σοὶ ἐρῶ. Ἀλαζόνες γάρ, ὡς ἄνω εἶπον, ὄντες οἱ Ἀττικοὶ καὶ πάντα μεγεθύνειν ἐθέλοντες ἐλθόντες ἐπὶ τὴν τῶν τοιούτων ὀνομάτων κλίσιν καὶ σκοπήσαντες ὡς, εἰ μὲν περιττοσυλλάβως κλίνοιεν, ἀνάγκη ἐστὶν εἰς ος μικρὸν τὴν γενικὴν ταύτην λήγειν· εἰ δὲ ἰσοσυλλάβως, πάλιν εἰς τὴν ου δίφθογγον τελευτᾶν, καὶ οὕτως ἑκατέρωθεν μικρόφωνοι ἔμελλον φαίνεσθαι· διὰ τοῦτο καινὴν τὴν κλίσιν ταύτην ἐπενοήσαντο καὶ τὸ Σ μόνον ἀπὸ τῆς εὐθείας ἐκβάλλοντες οὕτω τὴν γενικὴν ποιοῦσι, ἵνα φυλαχθῇ αὐτοῖς τὸ Ω μέγα καὶ ἐπὶ τῆς γενικῆς· καὶ τί λέγω ἐπὶ τῆς γενικῆς; ἁπλῶς γὰρ αἱ πτώσεις ἅπασαι, εἴτε ἑνικαὶ καὶ δυϊκαὶ καὶ πληθυντικαὶ καὶ τὸ Ω μέγα ἐπὶ τέλους ἔχουσιν· οὕτως ὑπερήφανον τὸ γένος τῶν Ἀττικῶν καὶ οὐδὲν μικρὸν οὐδὲ ταπεινὸν οὔτε φρονεῖν οὔτε φωνεῖν ἀνεχόμενοι.

118 Κα ν . ι ή . Ὁ ἅλς · σημαίνει μὲν τὸ παρὰ τῇ κοινολεξίᾳ λέγομεν ἅλας, κλίνεται δὲ ἁλός. Καίτοι τὰ εἰς δύο σύμφωνα λήγοντα ὡς τὸ Τίρυνς καὶ τὸ μάκαρς διὰ δύο συμφώνων κλίνονται Τίρυνθος, μάκαρτος· ἀλλὰ τοῦτο μόνον σεσημείωται δι' ἑνὸς μέσου συμφώνου τοῦ Λ κλινόμενον· ἀλλ' ἐπεὶ περὶ τῆς εἰς Σ καταλήξεως ἀρκούντως εἴπομεν, φέρε καὶ περὶ τῶν εἰς Ν ληγόντων ὀνομάτων λέγωμεν. Κα ν , ιθ ʹ . Ὁ Ἀλκμάν προσθέσει τοῦ ος Ἀλκμᾶνος κλίνεται·

κοινῷ γὰρ λόγῳ πάντα τὰ εἰς αν ὀνόματα κατὰ πρόσθεσιν τοῦ ος ποιοῦσι τὴν γενικήν. Ἀλκμάν Ἀλκμᾶνος, παιάν παιᾶνος, Τιτάν Τιτᾶνος, Πάν Πανός. Κα ν . κ . Ὁ σωλὴν λήγει εις η καὶ ν καὶ ἔστιν ὀξύτονος· κλίνεται δὲ σωλῆνος, φυλάττων τὸ η καὶ ἐπὶ τῆς γενικῆς. Διατί; διότι ἐπὶ τῆς εὐθείας οὐκ ἔχει τὸ μ· τῶν γὰρ εἰς ην ὀξυτόνων ὀνομάτων ὅσα μὲν εὕρῃς ἔχοντα ἐπὶ τῆς εὐθείας τὸ μ, ἐκεῖνα γίγνωσκε μὴ φυλάσσειν τὸ η ἐπὶ γενικῆς ἀλλὰ διὰ τοῦ ε κλίνεσθαι, οἷόν ἐστι τὸ λιμήν, λιμένος καὶ ποιμήν ποιμένος κλινόμενον· ὅσα δὲ μὴ ἔχει τὸ μ, οἷον τὸ σωλήν, ἐκεῖνα μὲν φυλάττει τὸ η καὶ ἐπὶ τῆς γενικῆς, οἷον σωλήν σωλῆνος· σεσημείωται τὸ αὐχήν αὐχένος. Κα ν . κ ά . Ὁ Ἕλλην · ἔστι καὶ αὐτὸς τῶν εἰς ην, ὡς καὶ ὁ σωλήν· βαρύτονος δὲ οὐκ ὀξύτονός ἐστιν. Κλίνεται δὲ Ἕλληνος φυλάσσων τὸ η καὶ ἐπὶ τῆς γενικῆς· τῶν γὰρ εἰς ην βαρυτόνων ὀνομάτων ὅσα μέν εἰσι μονογενῆ ἢ ἐπὶ ἀρσενικοῦ μόνου γένους ἢ ἐπὶ θηλυκοῦ μόνου λεγόμενα, ἐκεῖνα διὰ τοῦ η κλίνονται· ὅσα δὲ ποιοῦσιν ἐξ αὐτῶν οὐδέτερα ὀνόματα, ἐκεῖνα οὐκέτι διὰ τοῦ η ἀλλὰ διὰ τοῦ ε κλίνεται· τὸ γὰρ τέρην, ὅπερ ἐστὶν ὁ ἁπαλὸς καὶ τρυφερός, διότι ποιεῖ ἐξ αὐτοῦ τὸ τέρεν οὐδέτερον ὄνομα οὐχὶ τέρηνος κλίνεται ἀλλὰ τέρενος, καὶ τὸ ἄρσην ἄρσενος, διότι ποιεῖ τὸ ἄρσεν.

119 Κα ν . κβ ʹ . Ὁ δελφὶν λήγει εἰς Ι καὶ Ν, κλίνεται δὲ κατὰ προσθήκην τοῦ ος· πάντα γὰρ τὰ εἰς ιν ὀξύνονταί τε καὶ προσθέσει τοῦ ος κλίνονται. Κα ν . κγ ʹ . Ὁ Φόρκυν λήγει μὲν εἰς υν, κλίνεται δὲ οὗτος προσθέσει τοῦ ος. Πάντα γὰρ τὰ εἰς υν οὕτω κλίνονται. Κα ν . κδ ʹ . Ὁ Θέων λήγει μὲν εἰς ων μέγα, ἔστι δὲ βαρύτονον, κλίνεται δὲ Θέωνος φυλάττων τὸ Ω μέγα ἐπὶ τῆς γενικῆς. Διατί; ἐγὼ σοὶ τὴν αἰτίαν ἐρῶ. Ὅταν εὕρῃς ὄνομα βαρύτονον ἀρσενικὸν εἰς ων λῆγον, εἰ μέν ἐστι παρώνυμον· παρώνυμον δὲ λέγομεν τὸ ἀπὸ ἑτέρου ὀνόματος γινόμενον ὄνομα, οἷον Θέων· ἀπὸ γὰρ τοῦ Θεός ὀνόματος γέγονε Θέων καὶ Ἱέρων ἀπὸ τοῦ ἱερός· ὅσα τοίνυν εὕρῃς τοιαῦτα παρώνυμα ἐκεῖνα κλῖνε διὰ τοῦ νος φυλάττουσα τὸ μέγα Ω ἐπὶ τῆς γενικῆς· ὅσα δὲ τῶν εἰς ων βαρυτόνων τριγενῆ εἰσι, οἷον τὸ ὁ γείτων καὶ ἡ γείτων καὶ τὸ γεῖτον, ὁμοίως δὲ καὶ ὁ σώφρων καὶ ἡ σώφρων καὶ τὸ σῶφρον, τὰ τοίνυν εἰς ων τριγενῆ κλῖνε μὲν καὶ ταῦτα διὰ τοῦ νος, μὴ φύλαττε δὲ τὸ μέγα Ω καὶ ἐπὶ τῆς γενικῆς, ἀλλὰ τρέπε αὐτὸ εἰς μικρόν· γείτονος γὰρ καὶ σώφρονος διὰ τοῦ Ο μικροῦ κλίνομεν· ὅσα δὲ πάλιν τῶν εἰς ων βαρυτόνων εὑρήσεις ἐξ ἑαυτῶν ποιοῦντα ὄνομα θηλυκὸν διὰ τοῦ αινα λεγόμενον διὰ τοῦ ντ κλῖνε· τὸ γὰρ δράκων διὰ τοῦτο δράκοντος κλίνεται διὰ τοῦ ντ, ὅτι ποιεῖ θηλυκὸν τὸ δράκαινα.

120 Ὅμοιον καὶ τὸ λέων ἐπεὶ τὸ λέαινα θηλυκὸν διὰ τοῦ αινα ποιεῖ, διὰ τοῦτο λέοντος κλίνεται. Κα ν . κ έ . Ὁ κοιτών · ἔστι μὲν καὶ αὐτὸς τῶν εἰς ων· ὀξύνεται δὲ καὶ εἰς νος κλίνεται· φυλάττει δὲ τὸ Ω μέγα καὶ ἐπὶ τῆς γενικῆς· κοιτὼν γὰρ κοιτῶνος διὰ τοῦ Ω μεγάλου κλίνεται· τῶν γὰρ εἰς ων ὀξυτόνων ὀνομάτων ὅσα μέν εἰσι περιεκτικά, ἐκεῖνα φυλάσσει τὸ ω καὶ ἐπὶ τῆς γενικῆς· περιεκτικὰ δὲ λέγομεν ὅσα περιέχουσιν ἐν ἑαυτοῖς τι, οἷον δαφνὼν περιέχει δάφνας, ἢ παρθενὼν περιέχει παρθένους, ὁ ξενὼν ξείνους καὶ κλίνεται ξενῶνος καὶ παρθενῶνος καὶ δαφνῶνος διὰ τοῦ Ω μεγάλου· ὅσα δὲ ἔχει ἐπὶ τῆς εὐθείας τὸ Δ, οἷόν ἐστι τὸ Μυρμιδών καὶ ὁ Σαρπηδών, ἐκεῖνα κλίνονται μὲν καὶ αὐτὰ διὰ τοῦ νος, οὐ φυλάσσει δὲ τὸ Ω ἐπὶ τῆς γενικῆς· Μυρμιδόνος γὰρ καὶ Σαρπηδόνος διὰ τοῦ Ο μικροῦ κλίνομεν. Κα ν . κϛ ʹ . Ὁ Ξενοφῶν · ἔστι μὲν καὶ οὗτος τῶν εἰς ων, περισπᾶται δὲ διὰ τὸ ἀπὸ συναιρέσεως γίνεσθαι· ἐκ γὰρ τοῦ Ξενοφάων γέγονε Ξενοφῶν· κλίνεται δὲ διὰ τοῦ ντ, Ξενοφῶντος γάρ. Φυλάσσει δὲ τὸ Ω καὶ ἐπὶ τῆς γενικῆς, συνῄρηται γάρ. Κοινῶς γὰρ πάντα τὰ εἰς ων περισπώμενα φυλάσσει τε τὸ Ω καὶ διὰ τοῦ ντ κλίνεται πλὴν τοῦ Ποσειδῶν Ποσειδῶνος· μόνος γὰρ οὗτος τῶν εἰς ων περισπωμένων σεσημείωται διὰ τοῦ ν μόνον κλινόμενος. Ἀλλ' ἐπεὶ καὶ ὁ Ἀλκμὰν καὶ ὁ σωλὴν καὶ ὁ Ἕλλην καὶ ὁ Φόρκυν καὶ ὁ Θέων ὅ τε κοιτὼν καὶ ὁ Ξενοφῶν περιττοσυλλάβως ἅπαντα κλίνονται, οὐκ ἀγνοεῖς, ὅπως ἄρα ταῦτα κλινεῖς. Κα ν .

121

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κζ ′ . Ὁ Θώρα ξ . Ἔστι μὲν τῆς εἰς αξ καταλήξεως, κλίνεται δὲ Θώρακος διὰ τοῦ Κ δικαίως· ἐπεὶ γὰρ ἡ εὐθεῖα εἰς Ξ λήγει· τὸ δὲ Ξ ἀπὸ τοῦ Κ καὶ Σ σύγκειται· διὰ τοῦτο ἡ γενικὴ διὰ τοῦ Κ ἐκφέρεται. Καὶ ἀπορητέον· διατί μὴ καὶ τὸ ἅρπαξ ἅρπακος ἀλλὰ ἅρπαγος κλίνεται καὶ τὸ ἄναξ ἄνακος ἀλλ᾽ ἄνακτος; Καὶ περὶ μὲν τοῦ ἅρπαγος προφθάσας εἶπεν ὁ τεχνικός, ὅτι σεσημείωται τὸ ἅρπαξ ἅρπαγος διὰ τοῦ Γ κλινόμενον· καίτοι τὰ διὰ τοῦ γ κλινόμενα ἐγγύς εἰσι τῶν διὰ τοῦ κ κλινομένων. Τὸ γὰρ Γ, ὡς μεμάθηκας μέσον τοῦ Κ καὶ Χ, περὶ δὲ τοῦ ἄνακτος διατί οὐ κλίνεται ἄνακος ἀλλ᾽ ἄνακτος ἐγώ σοι τὴν αἰτίαν ἐρῶ. Ἄνακος ἦν τις παρ᾽ Ἕλλησιν ὡς θεὸς σεβαζόμενος, ᾧ καὶ ἱερὸν ἱδρυσάμενος ἀνακεῖον αὐτὸ προσηγόρευσαν· ἐὰν οὖν κλίνωμεν ἄναξ ἄνακος ἔμελλε συνεμπίπτειν ἡ γενικὴ αὕτη τῆς ἄναξ εὐθείας τῇ εὐθείᾳ ἐκείνῃ τοῦ Ἄνακος· ἵνα μὴ τοῦτο γένηται μηδὲ συνεμπέσῃ βδελυροῦ τινος ὀνόματι δαιμονίου τὰ τῶν εὐσεβῶν ὀνόματα, διὰ τοῦτο προσειληφότες τὸ Τ ἄνακτος κλίνομεν. Κα ν . κ ή . Ὁ μύρμη ξ . Ἔστι μὲν καὶ αὐτὸς τῶν εἰς ξ, κλίνεται δὲ διὰ τοῦ Κ διὰ τὸ συγκεῖσθαι τὸ Ξ ἀπὸ τοῦ Κ καὶ Σ ὡς εἴπομεν. Τῶν γὰρ εἰς ηξ ὀνομάτων τὰ μὲν ἁπλᾶ ἀσύνθετα διὰ τοῦ Κ κλίνονται μύρμηκος, νάρθηκος, σκώληκος· τὰ δὲ σύνθετα ὡς τὸ βουπλήξ καὶ ἀκανθοπλήξ διὰ τοῦ γ βουπλῆγος ἀκανθοπλῆγος, διὰ τὸ μέσον εἶναι τὸ Γ τοῦ Κ καὶ Χ, ὡς προείρηται. Κα ν . κθ ′ . Ὁ Πέρδιξ λήγει μὲν εἰς ιξ, κλίνεται δὲ ὁμοίως διὰ τοῦ Κ· τὰ γὰρ εἰς ιξ ἁπλᾶ ὄντα διὰ τοῦ Κ κλίνονται πλὴν τοῦ τέττιξ τέττιγος· τοῦτο γὰρ σεσημείωται διὰ τοῦ Γ κλινόμενον· τὸ μέντοι καλλίθριξ διὰ τοῦ Χ κλίνεται καλλίτριχος διὰ τὸ σύνθετον εἶναι ἀπὸ τοῦ κάλλους καὶ τῆς τριχός καὶ ἔχειν ἐκεῖθεν τὸ Χ.

122 Κα ν . λ ′ . Ὁ δοῖδυξ λήγει μὲν εἰς υξ, κλίνεται δὲ διὰ τοῦ Κ καὶ οὗτος διὰ τὴν προῤῥηθεῖσαν αἰτίαν. Κά ν . λ ά . Ὁ βῶξ λήγει μὲν εἰς ωξ κλίνεται δὲ διὰ τοῦ Κ βωκός· τὰ γὰρ εἰς ωξ εἰ μὲν ἁπλᾶ ὦσι διὰ τοῦ Κ κλίνονται· βῶξ βωκός, πτώξ πτωκός, εἰ δὲ σύνθετα διὰ τοῦ Γ, κυαμοτρώξ κυαμοτρῶγος, ἀποῤῥώξ ἀποῤῥῶγος· κοινῷ δὲ λόγῳ τὰ εἰς ξ λήγοντα ἅπαντα ἢ διὰ τοῦ Κ κλίνονται ἢ διὰ τοῦ Χ ἢ διὰ τοῦ Γ διὰ τὸ μέσον εἶναι τὸ Γ τοῦ Κ καὶ Χ. τινὰ δὲ τούτων κλίνονται καὶ διὰ διπλοῦ τοῦ ΓΓ, δηλονότι ὅσα ἔχουσιν ἐν τῇ εὐθείᾳ πρὸ τοῦ Ξ τὸ Γ, οἷον στράγξ στραγγός, Σφίγξ Σφιγγός, φάραγξ φάραγγος· τὸ δὲ Ξ σύγκειται ἀπὸ τοῦ Κ καὶ Σ. Καὶ περὶ μὲν τῶν εἰς Ξ ληγόντων ὀνομάτων τοσαῦτα· περὶ δὲ τῶν εἰς Ρ λέγομεν. Κα ν . λβ ′ . Ὁ λουτήρ ἐστι μὲν ὀξύτονος, λήγει δὲ εἰς Ρ, κλίνεται δὲ λουτῆρος φυλάσσων τὸ Η καὶ ἐπὶ τῆς γενικῆς. Τῶν γὰρ εἰς ηρ ὀξυτόνων ὀνομάτων ὅσα μὲν ἐπὶ τῆς εὐθείας ἔχει τὸ Τ ὡς τὸ λουτήρ καὶ δοτήρ καὶ σωτήρ διὰ τοῦ η κλίνονται λουτῆρος, δοτῆρος, σωτῆρος· ὅσα δὲ μὴ ἔχει τὸ Τ, ἐκεῖνα διὰ τοῦ Ε καὶ οὐ διὰ τοῦ Η κλίνονται ἀνήρ ἀνέρος, αἰθήρ αἰθέρος, ἀήρ ἀέρος, δαήρ δαέρος. Ταῦτα γὰρ καὶ τοιαῦτα διὰ τὸ μὴ ἔχειν ἐπὶ τῆς εὐθείας τὸ Τ διὰ τοῦ Ε κλίνονται. Καὶ μήν, ὦ θαυμάσιε τεχνικέ, φαίην ἂν πρὸς αὐτόν, τὸ πατήρ καὶ τὸ ἀστήρ καὶ τὸ Τ ἐπὶ τῆς εὐθείας ἔχει καὶ οὐ κλίνεται διὰ τοῦ Η, πατέρος γὰρ καὶ ἀστέρος λέγομεν. Τίς οὖν αἰτία δῆλον, ὅτι τὸ μὲν ἀστήρ διὰ τὸ μὴ καθαρὸν ἔχειν τὸ Τ ἀλλὰ μετὰ τοῦ Σ συμπεπλεγμένον διὰ τοῦτο καὶ κατὰ τὴν κλίσιν διήλλαξε· τὸ δὲ πατήρ διὰ τὸ μέλλειν ποιεῖν συγκοπὴν τὴν τοῦ πατρός καὶ παρηλλαγμένον εἶναι κατὰ τοῦτο τῶν εἰς ηρ ὀνομάτων, διὰ τοῦτο καὶ κατὰ τὴν κλίσιν παρήλλαξεν.

123 Κα ν . λγ ′ . Ὁ Πίηρ · ἔστι μὲν καὶ αὐτὸς τῶν εἰς ηρ, ὑπάρχει δὲ βαρύτονος, κλίνεται δὲ Πίερος μὴ φυλάττων τὸ Η καὶ ἐπὶ γενικῆς· τὰ γὰρ εἰς ηρ βαρύτονα εἰ μὲν μακρὰν ἔχει τὴν παραλήγουσαν οὐ φυλάττει τὸ Η ἀλλὰ διὰ τοῦ Ε κλίνεται φράτηρ φράτερος, Πίηρ Πίερος· εἰ δὲ βραχεῖαν ἔχει ταύτην, φυλάσσει τὸ η, Ἴβηρ Ἴβηρος, ἐρίηρ ἐρίηρος· μόνον τὸ πάνθηρ πάνθηρος σεσημείωται καὶ μακρὰν ἔχον τὴν παραλήγουσαν καὶ διὰ τοῦ η κλινόμενον. Ἡ δὲ αἰτία ἐστὶν αὕτη· ἐπεὶ ἀπὸ τοῦ θήρ σύγκειται τὴν κλίσιν αὐτοῦ ἐμιμήσατο, καὶ ὡς κλίνεται τὸ ἁπλοῦν θήρ θηρός, οὕτω καὶ τὸ σύνθετον πάνθηρ πάνθηρος. Κα ν . λδ ′ . Ὁ Νέστωρ λήγει μὲν εἰς ωρ κλίνεται δὲ διὰ τοῦ ρος, ὡς πάντα τὰ εἰς ωρ ὀνόματα, τρέπει δὲ τὸ Ω μέγα ἐπὶ τῆς γενικῆς εἰς Ο μικρόν, διότι κύριόν ἐστιν ὄνομα. Τὰ γὰρ εἰς ωρ ὀνόματα εἰ μὲν κύρια εἴη οὐ φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς, ἀλλὰ

τρέπει αὐτὸ εἰς Ο μικρόν, οἷον ὁ Νέστωρ Νέστορος, Μέντωρ Μέντορος, Ἕκτωρ Ἕκτορος. Ἰδοὺ γὰρ ταῦτα κύρια ὀνόματα ὄντα οὐ φυλάσσουσι τὸ ω μέγα καὶ ἐπὶ τῆς γενικῆς. Εἰ δὲ ἀξιωματικὰ ὑπάρχουσιν, οἷον τὸ πραίτωρ, καὶ τὸ κουαίστωρ καὶ τὸ μαΐστωρ φυλάσσουσι τὸ ὄνομα καὶ ἐπὶ τῆς γενικῆς· τὸ γὰρ πραίτωρος καὶ τὸ κουαίστωρος καὶ τὸ μαΐστωρος διὰ τοῦ Ω μεγάλου γράφονται· τὰ μέντοιγε σύνθετα οἷον τὸ ἀπάτωρ, ἀμήτωρ, αὐτοκράτωρ, μονοκράτωρ, σεβαστοκράτωρ διὰ τοῦ Ο μικροῦ κλίνονται ἀπάτορος, ἀμήτορος, αὐτοκράτορος, μονοκράτορος, σεβαστοκράτορος καὶ πάντα τὰ ὅμοια οὕτω κλίνονται καὶ γράφονται.

124 Κα ν . λ έ . Ὁ Κύκλωψ λήγει μὲν εἰς ωψ μέγα, κλίνεται δὲ Κύκλωπος διὰ τοῦ Π. Ἐπειδὴ γὰρ τὸ Ψ ἀπὸ τοῦ Π καὶ Σ σύγκειται διὰ τοῦτο καὶ τὰ εἰς ψ ὀνόματα ὡς ἐπιτοπλεῖστον διὰ τοῦ Π κλίνονται· Αἰθίοψ Αἰθίοπος, ἴψ ἰπός, γρύψ γρυπός, ὡς Κύκλωπος. Εἰσὶ δὲ ἔνια τῶν εἰς ψ ληγόντων ὀνομάτων καὶ διὰ τοῦ Β κλινόμενα, οἷον τὸ Ἄραψ Ἄραβος καὶ τὸ λίψ, ὁ ἄνεμος, λιβός, διὰ τὸ μέσον εἶναι τὸ Β τοῦ Π καὶ Φ· ὥσπερ γὰρ ἐπὶ τῶν εἰς Ξ ληγόντων ἐλέγομεν, ὅτι διὰ τὸ συγκεῖσθαι τὸ Ξ ἀπὸ τοῦ Κ καὶ Σ διὰ τοῦτο καὶ αἱ κλίσεις αὐτῶν διὰ τοῦ Κ γίνονται, ἢ διὰ μέσου τοῦ γ. Οὕτω καὶ ἐπὶ τῶν εἰς ψ διὰ τὸ συγκεῖσθαι αὐτὸ ἀπὸ τοῦ Π καὶ Σ διὰ τοῦ Π τὰς κλίσεις ποιούμεθα· ἔστι δ’ ὅτε καὶ διὰ μέσου τοῦ Β. Ποῖα δὲ τῶν εἰς ωψ ὀνομάτων διὰ τοῦ μεγάλουω, καὶ ποῖα διὰ μικροῦ γράφονται ἀπὸ τῆς ἑκάστου ἐτυμολογίας ἔχοις ἂν διαγινώσκειν σαφέστατα, οἷον Αἰθίοψ· ἐπεὶ ἀπὸ τοῦ αἴθω, τὸ καίω, καὶ τοῦ ὄψις ἐτυμολογεῖται· Αἰθίοψ γάρ ἐστιν ὁ διακεκαυμένος τὴν ὄψιν· διὰ τοῦτο Αἰθίοψ, τὸ οψ μικρόν, γράφεται, νυκτάλωψ δέ, ἐπειδὴ ἀπὸ τῆς νυκτὸς καὶ τοῦ ἄλη, ἡ πλάνη, καὶ τοῦ ὤψ, ὁ ὀφθαλμός, ἐτυμολογεῖται, διὰ τοῦτο διὰ τοῦ Ω μεγάλου γράφεται, ὥσπερ δὴ καὶ ὁ ὤψ ὁ ὀφθαλμός· ὁ δὲ νυκτάλωψ εἶδός ἐστι νοσήματος τὸ παρὰ τοῖς ἀγοραίοις ὀρνιθοτυφλότης ὀνομαζόμενον· καλεῖται δὲ νυκτάλωψ διὰ τὸ ἐν τῇ νυκτὶ ἀλᾶσθαι, ἤγουν ἀλᾶσθαι τὸν ὀφθαλμόν. Εἶδες οὖν τὴν τῶν ἀρσενικῶν κανόνων εὐταξίαν, σεβασμία μοι κεφαλή, εἶδες ἀπόῤῥητον σοφίαν καὶ τέχνην τοῦ τεχνικοῦ, καὶ ὅπως τὰς μυριάδας τῶν ἀρσενικῶν κανόνων ἐν τριάκοντα πέντε μόνοις κανόσιν ἐνέκλεισεν· εἶδες πῶς ἕκαστον τελικὸν τῶν ἀρσενικῶν κανόνων παραλαμβάνει, τὸ Σ λέγω καὶ τὸ Ν καὶ τὸ Ξ καὶ τὸ Ρ καὶ τὸ Ψ καὶ οὕτω διὰ τῶν ἑπτὰ φωνηέντων καταγυμνάζει θαυμαστοτάτως· βλέπε μοι τοῦτο λοιπὸν καὶ ἐν τοῖς θηλυκοῖς κανόσι· τῇ γὰρ αὐτῇ μεθόδῳ καὶ εὐταξίᾳ κέχρηται καὶ ἐν τούτοις, ὡς δηλωθήσεται.

125 Περὶ τῶν θηλυκῶν κανόνων. Ἅπαν θηλυκὸν ὄνομα εἰς ἓν τῶν ὀκτὼ τούτων γραμμάτων τελευτᾷ, ἢ γὰρ εἰς Α λήγει, ὡς τὸ σφαῖρα καὶ πέζα, ἢ εἰς Η ὡς τὸ τιμή, καλή, σοφή, ἢ εἰς Ω ὡς τὸ Σαπφώ, Κλειώ, Ἐρατώ, ἢ εἰς Σ ὡς τὸ φιλότης, ἀγαθότης, ἱλαρότης, ἢ εἰς Ν, ὡς τὸ τρυγών, χελιδών, ἢ εἰς Ρ ὡς τὸ μήτηρ, θυγάτηρ, ἢ εἰς Ψ, ὡς τὸ λαῖλαψ, καλάβροψ, ἢ εἰς Ξ, ὡς τὸ ἕλιξ, σάλπιγξ, καὶ οὐκ ἐγχωρεῖ εἰς ἄλλο στοιχεῖον ἀποπεραιοῦσθαι ὄνομα θηλυκόν, εἰ μὴ εἰς μόνα τὰ ὀκτὼ ταῦτα. Ἐπεὶ δὲ τῶν ὀκτὼ τούτων τρία μέν εἰσι φωνήεντα, πέντε δὲ σύμφωνα, διὰ τοῦτο πρῶτον μὲν ὁ θαυμάσιος τεχνικὸς ἀπὸ τῶν εἰς φωνήεντα καταλήξεων ἀρχόμενος τρεῖς κανόνας ἐκτίθεται, τὴν μοῦσαν, τὴν τιμήν, καὶ τὴν Σαπφώ, διὰ μὲν τῆς μούσης τὰ εἰς Α λήγοντα θηλυκὰ ὀνόματα διδάσκων, διὰ δὲ τῆς τιμῆς τὰ εἰς Η περατούμενα, διὰ δὲ τῆς Σαπφοῦς τὰ εἰς Ω καταλήγοντα, ἀπὸ τοῦ Α εὐτάκτως ἀρξάμενος καὶ διὰ μέσου τοῦ Η εἰς τὸ μέγα Ω καταλήξας. Ἔπειτα καὶ περὶ τῶν εἰς τὰ σύμφωνα ληγόντων θηλυκῶν ὀνομάτων διδάσκει καὶ πρῶτον περὶ τῆς εἰς Ν καταλήξεως τὸν λόγον ποιεῖται, τὴν τρυγόνα κανόνα προχειρισάμενος, ἔπειτα εἰς τὸ Ξ μεταπίπτει διὰ τῆς αὔλακος καὶ τῆς Σφιγγός τὰ εἰς Ξ διδάσκων σε λήγοντα· ἐκεῖθεν δὲ εἰς τὸ Ρ μεταπίπτει καὶ τὰ εἰς τοῦτο λήγοντα θηλυκὰ ὀνόματα δι’ ἑνὸς κανόνος τῆς μητέρος διδάξας ἐκ τοῦ Ρ πρὸς τὸ Σ μεταπηδᾷ καὶ περὶ τῶν εἰς Σ ληγόντων θηλυκῶν ὀνομάτων φιλοσοφεῖ, πρῶτον μὲν τὸ Α μετὰ τοῦ Σ μίξας ἐπὶ τῆς λαμπάδος, ἔπειτα τὸ Η μετὰ τοῦ Σ ἐπὶ τῆς φιλότητος, ἔπειτα δὲ τὸ Ι μετὰ τοῦ Σ ἐπὶ τῆς μήνιδος, ἀκόλουθον δὲ τὸ Υ μετὰ τοῦ Σ ἐπὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πίτυος καὶ τελευταῖον τὸ Ω μέγα μετὰ τοῦ Σ ἐπὶ τῆς αἰδοῦς κἀνταῦθα τὴν διδασκαλίαν κατέπαυσεν.

126 Καίτοι ἐνεδέχετο καὶ περὶ τῶν εἰς ψ ληγόντων ὀνομάτων φιλοσοφῆσαι, οἷον εἴπομεν τὸ λαῖλαψ καὶ τὸ καλάβροψ· ὁ δὲ οὐδ᾽ ὁπωσοῦν αὐτῶν ἐμνημόνευσεν, οὐχ ὅτι καταπεφρόνηκε τούτων ἢ ἐπελάθετο, ἀλλ᾽ ἐπειδὴ τὰ εἰς ψ λήγοντα εἴτε ἀρσενικὰ εἶεν εἴτε θηλυκά, ὡσαύτως κλίνονται διὰ τοῦ Π, ὡς τὸ Κύκλωψ Κύκλωπος ἀρσενικόν, οὕτω καὶ τὸ καλάβροψ καλαύροπος (sic) θηλυκόν, περιττὸν ἡγήσατο περὶ ὧν ἐντοῖς ἀρσενικοῖς ἀρκούντως ἐδίδαξε περὶ τῶν αὐτῶν διαλαμβάνειν πάλιν ἐν τοῖς θηλυκοῖς. Ἀρχὴ τῶν θηλυκῶν κανόνων. Καν. ά. Ἡ μοῦσα θηλυκὸν μέν ἐστιν ὄνομα, κλίνεται δὲ ἰσοσυλλάβως, οὐ φυλάσσει δὲ τὸ Α καὶ ἐπὶ τῆς γενικῆς, ἀλλὰ τρέπει αὐτὸ εἰς Η· οὐ γάρ ἐστι μοῦσα μούσας, ἀλλὰ μοῦσα μούσης. Διατί; ἐγὼ σοὶ τὴν αἰτίαν ἐρῶ, μᾶλλον δὲ πρὸ ἐμοῦ σοι φθάνει λέγων ὁ τεχνικὸς ταύτην· ὅσα γὰρ ὀνόματα θηλυκὰ εὕρῃς εἰς Α λήγοντα ἐρεύνα μοι καὶ βλέπε ὄπισθεν τοῦ Α ποῖον κεῖται στοιχεῖον· καὶ εἰ μὲν φωνῆέν ἐστι τὸ ὄπισθεν τούτου κείμενον, οἷόν ἐστι τὸ νέα καὶ γραῖα καὶ μαῖα καὶ καρδία καὶ σωτηρία, κλῖνε πάλιν διὰ τοῦ Α νέα νέας, γραῖα γραίας, μαῖα μαίας, καρδία καρδίας, σωτηρία σωτηρίας· ὅσα δὲ οὐκ ἔχουσιν ὄπισθεν τοῦ Α φωνῆεν, ἀλλὰ σύμφωνον, εἰ μὲν τὸ σύμφωνον ἐκεῖνό ἐστι Ρ καὶ ταῦτα διὰ τοῦ Α κλῖνε ὡς ἐξ ἡμισείας ὂν τοῦτο φωνῆεν, οἷον σφαῖρα σφαίρας, αὖρα αὔρας, χήρα χήρας· εἰ δὲ ἄλλο σύμφωνόν ἐστι καὶ οὐχὶ τὸ Ρ, ὁποῖον ἂν καὶ εἴη, τηνικαῦτα τὸ ἐπὶ τῆς εὐθείας Α ἐπὶ τῆς γενικῆς τρέπε εἰς Η· τὸ γὰρ δίψα ἐπεὶ ὄπισθεν τοῦ Α ἔχει τὸ Ψ οὐκ ἔστι δίψα δίψας, ἀλλὰ δίψα δίψης κλῖνε, ὁμοίως καὶ τὸ Μοῦσα, ἐπεὶ τὸ Σ ἔχει ὄπισθεν τοῦ Α μοῦσα μούσης κλῖνε καὶ οὐχὶ μούσας καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· μόνα γὰρ ἐκεῖνα ὡς εἴπομεν φυλάττουσι τὸ Α καὶ ἐπὶ τῆς γενικῆς, ὅσα ὄπισθεν τοῦ Α ἢ φωνῆεν ἔχουσιν ἢ ἀπὸ τῶν συμφώνων τὸ Ρ, τὰ δὲ ἄλλα ἅπαντα διὰ τοῦ Η κλῖνε.

127 σημείωσαί μοι τὸ Διοτίμα Διοτίμας κλινόμενον καὶ ταῦτα ἔχον ὄπισθεν τοῦ Α τὸ Μ· γυνὴ δὲ ἦν ἡ Διοτίμα σοφή, τοῦ φιλοσόφου Σωκράτους διδάσκαλος. Καὶ ἀπορήσεις εὖ οἶδ᾽ ὅτι ἀπορίαν δικαιοτάτην· διατί, δεκαεπτὰ συμφώνων ὄντων, ἁπάντων μόνον τῶν ἄλλων ἐτιμήθη τὸ Ρ, ἵνα τὰ ὄπισθεν τοῦ Α ἔχοντα τοῦτο ὀνόματα φυλάττωσι τὸ Α καὶ ἐπὶ τῆς γενικῆς, τὰ δὲ ἄλλα πάντα τρέπωσιν αὐτὸ εἰς Η; καὶ φημί σοι πρὸς τοῦτο, ὅτι ἐκ πολλῶν σημείων δυνατὸν κρεῖττόν ἐστι δεῖξαι τῶν ἄλλων συμφώνων τὸ Ρ· καὶ τρόπον τινὰ φωνῆεν μᾶλλόν ἐστι καὶ οὐ σύμφωνον· ἥ τε γὰρ ἀπήχησις αὐτοῦ καὶ ἐκφώνησις λαμπροτέρα ἐστι τῶν ἄλλων καὶ τῇ τῶν φωνηέντων ἀπηχήσει παρέοικε, καὶ πνεῦμα ἄνωθεν ἐπιδέχεται τὴν δασεῖαν, ὅπερ ἐπὶ ἄλλου συμφώνου οὐχ εὕρηταί ποτε.

128 Ἔτι δὲ καὶ ἐν τοῖς ῥήμασι κατὰ τοὺς παρῳχημένους χρόνους αὔξησιν ἐπιδέχεται, ῥέω γὰρ καὶ ὁ παρατατικὸς ἔρρεον διὰ τῶν δύο ΡΡ. Ὁρᾷς ὅπως συνωκείωται τὸ Ρ τοῖς φωνήεσι. Διὰ τοῦτο τοίνυν ἐπὶ τῶν εἰς Α θηλυκῶν ὅταν μὲν ὄπισθεν τοῦ Α ἢ φωνῆεν κεῖται ἢ τὸ Ρ, ὡς καὶ αὐτὸ τάχα φωνῆεν ὄν, τότε διὰ τοῦ Α ἡ κλίσις προέχεται· ὅταν δὲ ἄλλο τι σύμφωνόν ἐστι (sic) τὸ ὄπισθεν τοῦ Α κείμενον, τότε διὰ τοῦ Η τὴν κλίσιν ποιούμεθα. Κα ν . β ʹ . Ἡ τιμὴ θηλυκὸν μὲν ὄνομά ἐστι καὶ αὐτή· κλίνεται δὲ τιμῆς προσθέσει τοῦ Σ· κοινῶς γὰρ πάντα τὰ εἰς Η λήγοντα θηλυκὰ ὀνόματα προσθέσει τοῦ Σ κλίνονται τιμή τιμῆς καὶ καλή καλῆς. Κα ν . γ ʹ . Ἡ Σαπφὼ Σαπφόος κλίνεται περιττοσυλλάβως διαλύουσα τὸ ἐπὶ τῆς εὐθείας Ω εἰς δύο ΟΟ ἐπὶ τῆς γενικῆς· κλίνεται δὲ κατὰ συναίρεσιν Σαπφοῦς· φανερὰ δέ ἐστιν ἡ κλίσις αὐτῆς, ἐὰν εἰς τὴν τοῦ Δημοσθένους ἀναδράμῃς κλίσιν· ἀλλ᾽ ἐπειδὴ περὶ τῶν εἰς φωνήεντα ληγόντων ὀνομάτων διὰ τῶν τριῶν κανόνων κατ᾽ ἐπιδρομὴν ἤκουσας, ἄκουέ μοι καὶ περὶ τῶν εἰς σύμφωνα τελευτώντων θηλυκῶν ὀνομάτων. Κα ν . δ ʹ . Ἡ τρυγὼν λήγει μὲν εἰς Ν, κλίνεται δὲ περιττοσυλλάβως τρυγόνος, τρέπει δὲ τὸ ἐπὶ τῆς εὐθείας Ω μέγα ἐπὶ τῆς γενικῆς εἰς Ο μικρόν. Διατί; διότι ἐπὶ τέλους ἔχει τὸν τόνον καὶ ὀξύτονον ὄνομά ἐστιν ἡ τρυγών. Τοῦτο γὰρ γίγνωσκε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ τῶν εἰς ων θηλυκῶν ὀνομάτων, ὅτι ὅσα μέν εἰσι παροξύτονα, ἅπαντα φυλάττουσι τὸ Ω μέγα ἐπὶ τῆς γενικῆς, οἷον τρήρων τρήρωνος, μήκων μήκωνος, Ἀσκάλων Ἀσκάλωνος, Κρότων Κρότωνος καὶ τὰ ὅμοια. Ὅσα δὲ ἐπὶ τέλους τὴν ὀξεῖαν ἔχουσιν, εἰ μέν εἰσιν ὀνόματα πόλεων, φυλάττουσι καὶ αὐτὰ τὸ Ω μέγα ἐπὶ τῆς γενικῆς, οἷον Σιδών Σιδῶνος, Καλυδὼν Καλυδῶνος· εἰ δὲ οὐκ εἰσὶν ὀνόματα πόλεων ἐκεῖνα τρέπουσι τὸ ἐπὶ τῆς εὐθείας μέγα Ω ἐπὶ τῆς γενικῆς εἰς μικρόν, οἷον τρυγών τρυγόνος, χελιδών χελιδόνος.

129 Μετάβηθι ἀπὸ τῆς εἰς Ν καταλήξεως ἐπὶ τὰ εἰς Ξ· ἐπειδὴ καὶ ὁ τεχνικὸς οὕτω μετέβη διὰ τὸ εὐθὺς μετὰ τὸ Ν εἶναι τὸ Ξ καὶ δύο κανόνας τῆς εἰς Ξ καταλήξεως ἐποιήσατο. Καὶ πρῶτον μὲν τὸ Α μετὰ τοῦ Ξ θέμενος, οἷον αὖλαξ· ἔπειτα τὸ Ι μετὰ τοῦ Ξ οἷον Σφίγξ. Κα ν . ε ʹ . Ἡ αὖλαξ ἐστὶ μὲν ὄνομα θηλυκόν, ὡς οἶδας, σημαίνει δὲ τὴν ἠροτριασμένην γῆν, κλίνεται δὲ αὔλακος διὰ τοῦ Κ, καὶ ἡ αἰτία δήλη ἐστὶν ἀπὸ τῶν εἰς αξ ἀρσενικῶν ὀνομάτων, ὥσπερ ἐπ’ ἐκείνων τὰ εἰς αξ διὰ τοῦ Κ κλίνονται διὰ τὸ συγκεῖσθαι τὸ Ξ ἀπὸ τοῦ Κ καὶ Σ, οὕτως ἔχει καὶ ἐπὶ τῶν θηλυκῶν, αὖλαξ αὔλακος, πίδαξ πίδακος, κλίμαξ κλίμακος, πλάξ πλακός. Κα ν . ς ʹ . Ἡ Σφίγξ · λήγει μὲν καὶ αὐτὴ εἰς Ξ, κλίνεται δὲ διὰ δύο ΓΓ Σφιγγός. Κοινῷ γὰρ λόγῳ τὰ εἰς Ξ θηλυκὰ ὀνόματα εἰ μὲν ἔχουσιν ὄπισθεν τοῦ Ξ ἐπὶ τῆς εὐθείας τὸ Γ διὰ δύο ΓΓ κλίνονται, ὡς τὸ φάλαγξ φάλαγγος, σάλπιγξ σάλπιγγος, λύγξ λυγγός· ἔστι δὲ εἶδος νοσήματος τὸ παρὰ τοῖς ἀγοραίοις κλόξος λεγόμενον· εἰ δὲ οὐκ ἔχουσι πρὸ τοῦ Ξ τὸ Γ διὰ τοῦ Κ κλίνονται, ἕλιξ ἕλικος, δίπλαξ δίπλακος. Τοιαύτη σοι τῶν εἰς Ξ ληγόντων ὀνομάτων ἡ κλίσις. Ἄθρει δέ μοι καὶ τὴν εἰς Ρ. Κα ν . ζ ʹ . Ἡ μήτηρ περιττοσυλλάβως μὲν κλίνεται, τρέπει δὲ τὸ τῆς εὐθείας Η ἐπὶ γενικῆς εἰς Ε μήτηρ μητέρος· πάντα γὰρ ἁπλῶς τὰ εἰς ΗΡ θηλυκὰ ὀνόματα κατὰ τροπὴν τοῦ Η εἰς Ε κλίνονται· μήτηρ μητέρος, θυγάτηρ θυγατέρος, Δημήτηρ Δημήτερος, κλίνονται δὲ κατὰ συγκοπὴν μητρός θυγατρός καὶ Δήμητρος κατὰ ἀποβολὴν μόνον τοῦ Ε.

130 Τὴν εἰς Σ μοι ἐνταῦθα ἄθρει κατάληξιν. Κα ν . η ʹ . Ἡ λαμπὰς λήγει μὲν εἰς ας, ὀξύτονον δέ ἐστιν ὄνομα, κλίνεται δὲ λαμπάδος διὰ τοῦ Δ. Κοινῷ γὰρ λόγῳ πάντα τὰ εἰς ας ὀνόματα θηλυκὰ οὕτω κλίνεται λαμπάς λαμπάδος, δορκάς δορκάδος. Κα ν . θ ʹ . Ἡ φιλότης λήγει μὲν εἰς Σ καὶ αὐτή, ἔχει δὲ ὄπισθεν τοῦ Σ τὸ Η καὶ κλίνεται φιλότητος, ἀγαθότης ἀγαθότητος, λαμπρότης λαμπρότητος, ματαιότης ματαιότητος. Κα ν . ι ʹ . Ἡ μῆνις λήγει μὲν εἰς Σ, ἔχει δὲ πρὸ τοῦ Σ τὸ Ι, κλίνεται [δὲ] μήνιδος. Διατί; διότι ἐπὶ τῆς εὐθείας ἔχει τὸ Ν. Τῶν γὰρ εἰς ΙΣ θηλυκῶν ὀνομάτων ὅσα μὲν ἔχουσιν ἐπὶ τῆς εὐθείας τὸ Ν διὰ τοῦ Δ κλίνονται, μήνιδος, νεάνιδος· ὁμοίως καὶ ὅσα ἔχουσι τὸ Ρ, ἔρις ἔριδος, κίθαρις κιθάριδος, Κύπρις Κύπριδος, πλὴν ὀλίγων. Τὸ γὰρ ὕβρις ἔχει μὲν τὸ Ρ οὐ κλίνεται δὲ [ὕβριδος ἀλλὰ ὕβρεως καὶ χάρις οὐ] χάριδος ἀλλὰ χάριτος. Ὅσα δὲ οὔτε Ν ἔχει οὔτε Ρ ἐκεῖνα διὰ τοῦ εως κλίνονται πόλις πόλεως, λέξις λέξεως, γνῶσις γνώσεως καὶ τὰ ὅμοια· σημείωσαι δὲ τὸ ὄρνις ἔχον καὶ τὸ Ν καὶ διὰ τοῦ Θ κλινόμενον· ὄρνιθος γάρ. Κα ν . ια ʹ . Ἡ πίτυς λήγει μὲν εἰς Σ, ἔχει δὲ πρὸ τοῦ Σ τὸ Υ, παροξύτονον δέ ἐστιν. Κλίνεται δὲ πίτυος διὰ καθαροῦ τοῦ ΟΣ. Τὰ γὰρ εἰς ΥΣ θηλυκὰ εἰ μὲν παροξύτονα εἴη διὰ καθαροῦ τοῦ ΟΣ κλίνονται πίτυς πίτυος, χέλυς χέλυος (ἔστι δὲ ὄργανον μουσικόν) ἔγχελυς ἐγχέλυος, εἰ δὲ ἐπὶ τέλους ἔχουσι τὴν ὀξεῖαν διὰ τοῦ Δ κλίνονται, χλαμύς χλαμύδος, χωρὶς τῶν ἐχόντων μακρὸν τὸ Υ· τὸ γὰρ ὀϊζύς καὶ πληθύς ὀξύτονα μέν εἰσι καὶ ἔδει καὶ ταῦτα διὰ τοῦ Δ κλίνεσθαι, ὥσπερ καὶ τὸ χλαμύς· ἀλλ’ ἐπειδὴ μακρὸν ἔχουσι τὸ Υ διὰ τοῦτο ὀϊζύος καὶ πληθύος κλίνονται διὰ καθαροῦ τοῦ ΟΣ.

131 Κα ν . ιβʹ. Ἡ αἰδώς· ἔστι μὲν καὶ αὐτὴ τῶν εἰς Σ ληγόντων· ἔχει δὲ πρὸ τοῦ Σ τὸ Ω μέγα, κλίνεται δὲ αἰδόος κατὰ διάλυσιν τοῦ μεγάλου ω εἰς δύο μικρά, καὶ κατὰ συναίρεσιν αἰδοῦς. Τὰ γὰρ εἰς ως θηλυκὰ εἰ μὲν παροξύτονα εἴη κατὰ ἀποβολὴν τοῦ Σ κλίνονται, ὡς τὸ ἡ ἕως, ὃ σημαίνει τὴν ἀνατολήν, τῆς ἕω· εἰ δὲ ὀξύτονα κατὰ διάλυσιν τοῦ ἑνὸς μεγάλου Ω εἰς τὰ δύο μικρά, ὡς τὸ αἰδώς αἰδόος, ἠώς ἠόος. Τοσαῦτά σοι περὶ τῶν θηλυκῶν ἐῤῥέθη κανόνων· συντόμως τε καὶ

συνεπτυγμένως, ἵνα μὴ ἀδολεσχῶμεν τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν πολλάκις ἀνακυκλοῦντες, ἄθρει περὶ τῶν οὐδετέρων. Περὶ τῶν οὐδετέρων ὀνομάτων. Περὶ τῶν οὐδετέρων ἤδη λέγομεν πρότερον ἐρευνήσαντες διατί τε οὐδέτερον ὄνομα λέγεται καὶ πῶς ἐπινενόηται καὶ ἐφεύρηται. Οὐδέτερον λέγεται ὡς μήτε ἀρσενικὸν μήτε θηλυκὸν ὑπάρχον ὥσπερ ἐάν τις εἴπῃ ὅτι ὁ οὐρανὸς ἀήρ ἐστιν ἢ πῦρ, λέγομεν ὅτι οὐδέτερον οὔτε ἀήρ ἐστιν οὔτε πῦρ. Ἐπενοήθησαν δὲ τὰ οὐδέτερα καὶ εὑρέθησαν παρὰ τῶν ἀρχαίων ὀνοματοθετῶν δι' ἥν σοι μέλλω λέγειν αἰτίαν. Ἐπεὶ γὰρ τῶν ἐν βίῳ πραγμάτων τὰ μὲν εἰσὶ καὶ ζῶσιν, οἷον τὰ ζῶα, τὰ δὲ εἰσὶ μέν, οὐ ζῶσι δέ, ὡς τὰ ἄψυχα· καὶ τὰ μὲν ζῶα εἰς τὸ ἄῤῥεν καὶ τὸ θῆλυ μερίζονται διὰ τὴν γονήν· τὰ δὲ ἄψυχα οὔτε γεννῶσιν οὔτε τὸ θῆλυ καὶ τὸ ἄῤῥεν ἔχουσι· διὰ τοῦτο καὶ οἱ ὀνοματοθέται ἀκολούθως τοῖς πράγμασι τὸ μὲν ἀρσενικὸν καὶ θηλυκὸν ὄνομα τοῖς ζώοις ἀπεκληρώσαντο, καὶ τὸν μὲν ἄρσενα ὄφιν ὄφιν ἀρσενικῶς ὀνομάσαντες, τὸν δὲ θῆλυν ἔχιδναν θηλυκῶς, καὶ τὸν μὲν ἄρσενα ἄνθρωπον ἀρσενικῶς ἄνδρα προσαγορεύσαντες, τὸν δὲ θῆλυν γυναῖκα καλέσαντες, ἵνα κατὰ τὴν ἑκάστου φύσιν προβαίνῃ καὶ τὰ ὀνόματα, τὸ δὲ οὐδέτερον ὄνομα τοῖς οὐδετέροις πράγμασιν ἤγουν τοῖς ἀψύχοις ἀπέδοντο, τὸ βέλος λέγοντες καὶ τὸ ξύλον καὶ τὸ μέλι καὶ τὰ τοιαῦτα διὰ τοῦτο, ἵνα τι καὶ χαριέστατον εἴπω, καὶ αὐτὰ τὰ ἁπλᾶ σώματα, ἤγουν τὰ τέσσαρα στοιχεῖα οὐδετέρως καλοῦνται ὡς ἄψυχα τὸ πῦρ καὶ τὸ ὕδωρ· ὁ [δὲ] ἀήρ καὶ ἡ γῆ ὁ μὲν ἀρσενικῶς ἡ δὲ θηλυκῶς ὀνομάζεται, ὁ μὲν ἀὴρ ὡς πατὴρ τῆς ἡμετέρας ζωῆς· τοῦτον γὰρ ἀναπνέοντες ζῶμεν· ἡ δὲ γῆ ὡς μήτηρ καὶ τιθηνός· καὶ μή μοι εἴπῃς ὅτι ὁρῶμεν καὶ ἐπὶ τῶν ἐμψύχων ὅτι πολλὰ οὐδετέρως λέγομεν οἷον τὸ γύναιον καὶ τὸ ἀνθρωπάριον καὶ αὖ ἐπὶ τῶν ἀψύχων πολλὰ ἀρσενικῶς καὶ θηλυκῶς ὀνομάζονται, οἷον ὁ τοῖχος καὶ ὁ πηλός καὶ ἡ πέτρα· ταῦτα γὰρ καταχρηστικῶς λέγονται· ἐπεὶ τοῖς γε κυριολεκτεῖν μέλλουσιν ἐπὶ μὲν τῶν ζώων, ἐφ' ὧν ἡ μίξις ἐστὶ τοῦ ἄῤῥενος καὶ τοῦ θήλεος, ἐπὶ τούτων ἀρσενικὰ καὶ θηλυκὰ τάττονται· ἐπὶ δὲ τῶν ἀψύχων ἐφ' ὧν οὔτε τὸ ἄῤῥεν οὔτε τὸ θῆλυ χώραν ἔχει, ἐπὶ τούτων ἁρμόττουσιν τὰ οὐδέτερα.

132 Ἀρχὴν οὖν ἀναλαβόντες εἴπωμέν σοι καὶ περὶ οὐδετέρων κανόνων καὶ ὅπως τούτους ὁ τεχνικὸς ἔταξεν. Ἐπεὶ γὰρ ἅπαν οὐδέτερον ὄνομα ἢ εἰς Α λήγει ὡς τὸ σχῆμα, βῆμα, τᾶγμα, ἢ εἰς Ι ὡς τὸ μέλι, πέπερι, κιννάβαρι, ἢ εἰς Υ ὡς τὸ γόνυ, δόρυ, δάκρυ, ἢ εἰς Ν, ως τὸ ξύλον, δένδρον, ἢ εἰς Ρ ὡς τὸ φρέαρ, ἧπαρ, ἢ εἰς Σ ὡς τὸ τεῖχος, δέμας, εἰς δὲ ἄλλο στοιχεῖον οὐκ ἐγχωρεῖ περατοῦσθαι οὐδέτερον ὄνομα, κανόνας σοι τούτων τῶν καταλήξεων ὁ τεχνικὸς ἀρίστως ἐξέθετο, καὶ πρῶτα μὲν τὴν εἰς Α κατάληξιν παρεστήσατο δι' ἑνὸς κανόνος τοῦ βήματος, ἐπειδὴ καὶ πρῶτον στοιχεῖον τὸ Α, ἔπειτα τὴν εἰς Ι διὰ τοῦ μέλιτος, ἔπειτα τὴν εἰς Υ διὰ τρίτου κανόνος τοῦ πώεος, ἔπειτα τὴν εἰς Ν, τέταρτον κανόνα τὸ ξύλον λαβών, ἑξῆς δὲ τὴν εἰς Ρ διὰ δυοῖν κανόνων τοῦ δελέατος καὶ τοῦ ἥπατος καὶ τελευταῖον τὴν εἰς Σ κατάληξιν διὰ τριῶν ἑτέρων κανόνων τοῦ κρέατος, τοῦ τείχεος, τοῦ φωτός· καὶ οὕτω καταπαύει τὸν λόγον.

133 Ἀρχὴ τῶν οὐδετέρων κανόνων. Καν. α'. Τὸ βῆμα· ἔστι μὲν οὐδέτερον ὄνομα, σημαίνει δὲ τὴν πορείαν, κλίνεται δὲ προσθέσει τοῦ τος. Κοινῷ γὰρ λόγῳ πάντα τὰ εἰς Α λήγοντα οὐδέτερα καὶ τὸ Μ ἔχουσι καὶ βραχύνουσι τὸ Α καὶ προσθέσει τοῦ τος κλίνονται, οἷον πνεῦμα πνεύματος, ῥεῦμα ῥεύματος, χάσμα χάσματος. Οὕτως οὖν καὶ τὸ βῆμα βήματος. Κα ν . β ' . Τὸ μέλι οὐδέτερόν ἐστι καὶ αὐτό, λήγει δὲ εἰς Ι, κλίνεται δὲ καὶ αὐτὸ κατὰ προσθήκην τοῦ τος· καθόλου γὰρ ὡς τὰ εἰς Α λήγοντα οὐδέτερα οὕτω καὶ τὰ εἰς Ι προσθέσει τοῦ τος κλίνονται· καὶ μή μοι εἴπῃς, ὅτι ἰδοὺ τὸ πέπερι καὶ τὸ κιννάβαρι λήγουσι μὲν εἰς Ι, οὐ κλίνονται δὲ διὰ τοῦ τος πεπέριτος κινναβάριτος, ἀλλὰ πεπέριος, κινναβάριος. Αὐτὸς γὰρ ὁ τεχνικὸς τὴν ἀπορίαν σοι ταύτην προφθάσας ἰάσατο, βαρβαρικὰ οὐχ ἑλληνικὰ ὀνόματα τὰ τοιαῦτα καλέσας· ἡμῖν δὲ περὶ τῶν ἑλληνικῶν οὐχὶ τῶν βαρβαρικῶν ὀνομάτων ἐστὶν ὁ λόγος. Κα ν .

134

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γ ′ . Τὸ πῶϋ λήγει μὲν εἰς Υ, σημαίνει δὲ τὸ ποιμνίον, κλίνεται δὲ πώεος, τρέπον τὸ ἐπὶ τῆς εὐθείας Υ εἰς Ε ἐπὶ τῆς γενικῆς. Τῶν γὰρ εἰς Υ ληγόντων ὀνομάτων ὅσα μὲν μακρὰν ἔχουσι τὴν παραλήγουσαν διὰ τοῦ Ε κλίνονται· πῶϋ πώεος, ἄστυ ἄστεος; ὅσα δὲ βραχεῖαν ἐκεῖνα φυλάσσει τὸ Υ καὶ ἐπὶ τῆς γενικῆς· γόνυ γόνυος, δόρυ δόρυος, μέθυ μέθυος· μέθυ δὲ λέγεται ὁ γλυκὺς οἶνος, μίσυ μίσυος· μίσυ δέ ἐστιν εἶδος ἰατρικὸν τὸ εἰς τὴν τετραφάρμακον ἐμβαλλόμενον. Κα ν . δ ′ . Τὸ ξύλον λήγει μὲν εἰς Ν, κλίνεται δὲ ἰσοσυλλάβως ξύλου· καθολικῷ γὰρ λόγῳ πάντα τὰ εἰς ΟΝ οὐδέτερα εἰς ΟΥ κλίνονται. Κα ν . ε ′ . Τὸ δέλεαρ λήγει μὲν εἰς Ρ, κλίνεται δὲ δελέατος διὰ τοῦ Τ. Τῶν γὰρ εἰς αρ οὐδετέρων τὰ μὲν ἐπέκεινα δύο συλλαβῶν ὄντα διὰ τοῦ Τ κλίνονται, ὡς τὸ δέλεαρ δελέατος καὶ ὄνειαρ ὀνείατος· τὰ δὲ δισύλλαβα εἰ μὲν μακρὰν ἔχουσι τὴν παραλήγουσαν διὰ τοῦ Τ καὶ αὐτὰ κλίνονται, ὡς τὸ ἧπαρ ἥπατος, οὖθαρ οὔθατος, εἰ δὲ βραχεῖαν διὰ τοῦ Ρ κλίνονται καὶ οὐχὶ διὰ τοῦ Τ· ἔαρ ἔαρος, κέαρ κέαρος· σημείωσαί μοι τὸ νέκταρ καὶ φρέαρ ἐναντίως τῷ κανόνι τούτῳ κλινόμενα· τὸ μὲν γὰρ νέκταρ καὶ ταῦτα μακρᾷ παραληγόμενον ὅμως οὐ κλίνεται νέκτατος ὡς ἥπατος, ἀλλὰ νέκταρος ὡς ἔαρος· τὸ δὲ φρέαρ βραχεῖαν ἔχον τὴν παραλήγουσαν οὐ κλίνεται οὐδὲ τοῦτο φρέαρος ὡς τὰ ἄλλα βραχείᾳ παραληγόμενα κέαρος ἔαρος, ἀλλὰ φρέατος. Καὶ εἴπω σοι τὴν τούτων ἐναλλαγὴν καὶ τὴν αἰτίαν αὐτῆς· τὸ μὲν γὰρ νέκταρ διὰ τὸ ἔχειν τὸ Τ ἐπ’ εὐθείας οὐ κλίνεται δι’ ἑτέρου Τ νέκτατος, ἵνα μὴ ἐπάλληλα κεῖνται τὰ δύο ΤΤ, τὸ δὲ φρέαρ βραχεῖαν ἔχον τὴν παραλήγουσαν οὐ κλίνεται δι’ ἑτέρου Ρ φρέαρος· ἀεὶ γὰρ τὰς τοιαύτας συγκρούσεις τῶν συμφώνων ὁ τεχνίτης λόγος μισεῖ.

135 Κα ν . ς ′ . Τὸ ὕδωρ λήγει μὲν εἰς Ρ καὶ αὐτό, κλίνεται δὲ οὐχ ὥσπερ τὰ λοιπὰ τῶν εἰς ωρ οὐδετέρων ὀνομάτων, ἀλλὰ παράδοξόν τινα ἔχει τὴν κλίσιν. Τὰ μὲν γὰρ εἰς ωρ εἴτε μέγα ἔχουσι τὸ Ω ὡς τὸ ἔλωρ, τέκμωρ, εἴτε μικρὸν ὡς τὸ ἄνορ, κάλορ, ἦτορ, ἄορ πάντα διὰ τοῦ ρος κλίνονται ἔλωρος, τέκμωρος, ἄνορος, κάλορος, ἤτορος, ἄορος· μόνον δὲ τὸ ὕδωρ καινήν τινα καὶ παρηλλαγμένην ἐδέξατο κλίσιν· οὐδὲ γὰρ ὕδωρος ποιεῖ τὴν γενικὴν κατὰ τὰ λοιπὰ ἀλλ’ ὕδατος κλίνεται, τάχα οὐκ ἀπὸ τῆς ὕδωρ εὐθείας ἀλλ’ ἀπὸ τῆς ὕδας κλινόμενον· λέγεται ὕδωρ καὶ ὕδας· ἀκολούθως οὖν ἐκ τούτου κλίνεται ὕδατος ὡς τὸ κρέας κρέατος. Κα ν . ζ ′ . Τὸ κρέας · ἔστι μὲν καὶ τοῦτο οὐδέτερον ὄνομα, λήγει δὲ εἰς ας, τριπλῆν δὲ ἔχει τὴν κλίσιν· ἡ μὲν γὰρ κοινὴ διάλεκτος διὰ τοῦ τος τοῦτο κλίνει, ὡς πάντα τὰ εἰς ας οὐδέτερα κρέας κρέατος, δέπας δέπατος, γῆρας γήρατος· οἱ δὲ Ἴωνες ἅτε τὴν διάλυσιν ἀγαπῶντες καὶ τὸ καθαρόφωνον ὑπεξαιροῦσι τὸ Τ κρέαος κλίνοντες· οἱ δὲ ἀλοζόνες καὶ μεγαλόφωνοι Ἀττικοὶ συναιροῦντες τὸ τῶν Ἰώνων Α καὶ Ο μικρὸν εἰς τὸ φίλον αὐτοῖς μέγα ω κρέως κλίνουσιν. Κα ν . η ′ . Τὸ τεῖχος λήγει μὲν εἰς ος κλίνεται δὲ κατὰ μὲν τῶν Ἰώνων διάλυσιν τείχεος, κατὰ δὲ συναίρεσιν τείχους. Τὰ γὰρ εἰς ος μικρὸν ὀνόματα ἅπαντα εἰ μὲν ἀρσενικὰ εἴη διὰ τοῦ ου κλίνονται ἄνθρωπος ἀνθρώπου, θεός θεοῦ· εἰ δὲ οὐδέτερα διὰ τοῦ ους μέλος μέλους, ὕψος ὕψους, τεῖχος τείχους. Κα ν . θ ′ . Τὸ φῶς ἐστι μὲν καὶ αὐτὸ τῶν εἰς Σ ληγόντων ὀνομάτων, γίνεται δὲ ἀπὸ τοῦ φάος κατὰ συναίρεσιν φῶς, καὶ ἐκεῖθεν ἔχει καὶ τὸ μέγα ω καὶ τὴν περισπωμένην ἀπὸ τῆς συναιρέσεως· κλίνεται δὲ φωτός· ἁπλῶς γὰρ εἰπεῖν δύο μόνα ἐν τοῖς οὐδετέροις εὑρίσκομεν εἰς ω μέγα λήγοντα, φῶς καὶ ὦς, κλίνομεν δὲ ἀμφότερα διὰ τοῦ τος, φῶς φωτός καὶ ὦς ὠτός.

136 Τοσαῦτα σοὶ καὶ περὶ τῶν οὐδετέρων κανόνων θεσπεσία μοι κεφαλή. Σὺ δὲ ἀνακεφαλαιωσαμένη πάντα τὰ προῤῥηθέντα θαύμασον τὴν τοῦ τεχνίτου σοφίαν καὶ ἐπιστήμην καὶ πρὸ τῶν ἄλλων τὴν εὐταξίαν, ἣν ἔν τε τοῖς ἀρσενικοῖς καὶ τοῖς θηλυκοῖς καὶ τοῖς οὐδετέροις κανόσιν ἐφύλαξε· καὶ γὰρ ἐπὶ τῶν ἀρσενικῶν ἀπὸ τοῦ Αἴαντος ἀρξάμενος διότι εἰς Α λήγει εἰς τὴν Κύκλωπα ἔληξε διότι εἰς Ω μέγα λήγει. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν θηλυκῶν τὴν Μοῦσαν πρῶτον λαμβάνει εἰς Α λήγουσαν καὶ τελευταῖον ἐπάγει τὴν αἰδῶ εἰς Ω μέγα περατουμένην· ὡσαύτως καὶ ἐπὶ τῶν οὐδετέρων τὸ βῆμα πρῶτον ἐκτίθεται διὰ τὴν εἰς Α κατάληξιν καὶ τελευταῖον ἐπάγει τὸ φῶς ὡς εἰς μέγα Ω καταλῆγον, ἐν πᾶσιν ἀπὸ τοῦ Α

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχόμενος καὶ εἰς τὸ Ω τελευτῶν. Ἀλλ' ἐπειδὴ τὴν περὶ τῶν ὀνομάτων διδασκαλίαν ἐξελθόντες καὶ τὰ σκοτεινῶς ἐν ταύτῃ ῥηθέντα ὡς οἷόν τε ἀνακαλύψαντες καὶ διαφωτίσαντες εἰς φῶς κατελήξαμεν, ἄγε μετὰ τοῦ φωτὸς καὶ τὸ ῥῆμα κατασκοπήσωμεν καὶ πάντως δὲ τῷ φωτὶ ἀκολουθοῦντες οὐχὶ προσκόψομεν. Ἀρχὴ τοῦ ῥήματος. Τὸ ῥῆμα μέρος λόγου ἐστὶ τὸ κυριώτατον· ὡς γὰρ ἐν τοῖς προοιμίοις τοῦ λόγου φθάσαντες εἴπομεν ὀκτὼ μέν εἰσι τὰ μέρη τοῦ λόγου· τὰ δὲ ἀναγκαιότατα καὶ συνεκτικώτατα τὰ δύο ταῦτά εἰσι, τὸ ὄνομα καὶ τὸ ῥῆμα· διότι ἐκτὸς μὲν τῶν ἄλλων ἓξ δύναται συστῆναι λόγος μετὰ μόνου τοῦ ὀνόματος καὶ τοῦ ῥήματος· ἐκτὸς δὲ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, κἂν τὰ ἄλλα πάντα συνδράμωσιν, οὐκ ἂν συσταίη λόγος ποτέ.

137 Ἔχει δὲ τὸ ῥῆμα καὶ πλέον τι τοῦ ὀνόματος· τὸ μὲν γὰρ ὄνομα σημαίνει πρᾶγμά τι μόνον, τὸ δὲ ῥῆμα καί τι πλέον· οἷον τὸ λέγω σημαίνει καὶ αὐτὴν τὴν ἐνέργειαν ὅτι λέγω· σημαίνει δὲ πλέον καὶ τὸν χρόνον καθ' ὃν ἡ ἐνέργεια. Ὅταν γὰρ εἴπω λέγω σημαίνει ὅτι νῦν λέγω καὶ κατὰ τὸν παρόντα χρόνον. Καὶ ἔστι τὸ ῥῆμα κατὰ τοὺς παλαιοὺς μέρος λόγου ἄπτωτον, ἤγουν μὴ ἐπιδεχόμενον πτώσεις ὀρθήν, γενικήν, δοτικήν, αἰτιατικὴν καὶ κλητικήν. Τὸ γὰρ ὄνομα ἐπιδέχεται πτώσεις, τὸ δὲ ῥῆμα οὐχί. Ἔστιν οὖν τὸ ῥῆμα, ὡς εἴπομεν, λέξις ἄπτωτος ἐπιδεκτικὴ χρόνων, ἤγουν ἐνεστῶτος, παρεληλυθότος καὶ μέλλοντος, καὶ προσώπων, ἤγουν πρώτου ἐγώ, δευτέρου σύ, τρίτου ἐκεῖνος· αὐτὰ γάρ εἰσι τὰ τρία πρόσωπα· καὶ ἀριθμῶν ἑνικοῦ, δυϊκοῦ, πληθυντικοῦ, ἐνέργειαν καὶ πάθος παριστῶσα· ἐνέργειαν μὲν ὅταν λέγω κολάζω· ἰδοὺ γὰρ ἐνεργῶ, πάθος δέ, ὅταν λέγω κολάζομαι· ἰδοὺ γὰρ πάσχω. Ὁρίζονται δέ τινες τὸ ῥῆμα καὶ οὕτως. Ῥῆμά ἐστι μέρος λόγου ἄπτωτον, ἤτοι μὴ ἔχον πτώσεις, διαφόρους χρόνους δηλοῦν ἐν ἰδίοις μετασχηματισμοῖς. Τοῦτο δὲ τί ποτέ ἐστιν ἐγώ σοι παραστήσω σαφέστατα· ἄλλο τί ἐστιν ἡ παντελὴς ἐξαλλαγὴ καὶ ἄλλο ἡ μετασχημάτισις. Εἰ μὲν γὰρ τυχὸν τήνδε τὴν βίβλον κατεῖχες ὡς φέρε εἰπεῖν τὴν γραμματικήν, εἶτα ἐκείνην ἀφεῖσα θεολογικὸν βιβλίον ἔλαβες, τοῦτό ἐστιν ἡ ἐξαλλαγή. Ἄλλο γὰρ βιβλίον ἡ γραμματικὴ καὶ ἄλλο τὸ θεολογικόν. Ἐὰν δὲ ἥντινα χθὲς κατεῖχες τὴν γραμματικὴν ἐνδεδυμένην μετὰ δέρματος ταύτην σήμερον κατέχῃς βλαττένδυτον τοῦτό ἐστιν ἡ μετασχημάτισις.

138 Ἡ μὲν γὰρ βίβλος ἡ αὐτή ἐστι, τὸ δὲ σχῆμα μόνον ἠλλοίωσεν. Ἐπεὶ γοῦν εἰσι καὶ τινὰ χρονικὰ ἐπιῤῥήματα οἷον τὸ χθές, σήμερον, αὔριον, ἅτινα διαφόρους χρόνους δηλοῦσι· τὸ μὲν γὰρ χθές τὸν παρεληλυθότα, τὸ δὲ σήμερον τὸν ἐνεστῶτα, τὸ δὲ αὔριον τὸν μέλλοντα, δηλοῦσι δὲ αὐτοὺς οὐ μετασχηματιζόμενα ἀλλὰ παντελῶς ἠλλοιωμένα· ποίαν γὰρ κοινωνίαν ἔχει ἡ σήμερον φωνὴ πρὸς τὴν αὔριον φωνήν; διὰ τοῦτο σοί φησιν ὁ τεχνικός, ὅτι τὸ ῥῆμα δηλοῖ διαφόρους χρόνους, ἀλλ' ἐν ἰδίοις μετασχηματισμοῖς. Τὸ γὰρ τύπτω καὶ τὸ τύψω δηλοῦσι διαφόρους χρόνους τὸ μὲν τύπτω ἐνεστῶτα, τὸ δὲ τύψω μέλλοντα· ἀλλ' οὐκ ἔστι παντελῶς ἑτέρα ἡ τύπτω φωνὴ τῆς τύψω φωνῆς· μόνον δὲ μετεσχηματίσθη τὸ τύψω κατὰ τροπὴν τοῦ π καὶ τ εἰς το ψ. Τοῦτο γοῦν ἔστιν ὃ λέγει ὁ τεχνικός, ὅτι ῥῆμά ἐστι μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν· προστίθησι δὲ τῷ ὁρισμῷ καί φησι μετ' ἐνεργείας καὶ πάθους ἢ οὐδετέρου· οὐδὲ γὰρ μόνον διαφορὰς χρόνων σημαίνει τὸ ῥῆμα ἀλλὰ καὶ διαφορὰς διαθέσεων, καὶ ποτὲ μὲν ἐνέργειαν παριστᾷ, ὡς τὸ λέγω καὶ τὸ γράφω, ποτὲ δὲ πάθος, ὡς τὸ λέγομαι καὶ γράφομαι, ποτὲ δὲ οὐδέτερον τούτων, οὔτε πάθος οὔτε ἐνέργειαν, οἷόν εἰσιν οἱ μὲν μέλλοντες χρόνοι, περὶ ὧν ἐν τοῖς προσήκουσι τόποις αὐτῶν ἐροῦμεν. Πάλιν οὖν ἀναληπτέον τὸν λόγον· ῥῆμά ἐστι μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ' ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου, προσώπων σημαντικόν, ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ· ἐπ' ἐκείνων γὰρ τῶν ἐγκλίσεων ἐφ' ὧν καὶ τὸ βούλημα τῆς ψυχῆς ἐστιν ἐμφανές, οἷον ἐπὶ τῆς ὁριστικῆς καὶ προστακτικῆς καὶ εὐκτικῆς καὶ ὑποτακτικῆς, ἐπ' ἐκείνων μόνον τὰ ῥήματα σημαίνουσι πρόσωπα· ὅταν γὰρ εἴπω λέγω ἐδήλωσα καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρῶτον πρόσωπον, ὅτι ἐγώ, ἢ ὅταν εἴπω λέγε προστακτικῶς ἐδήλωσα καὶ τὸ δεύτερον πρόσωπον, ὅτι σύ, ἢ ὅταν εἴπω λέγοι εὐκτικῶς ἐδήλωσα τὸ τρίτον, ὅτι ἐκεῖνος, ἢ ὅταν εἴπω λέγωμεν ὑποτακτικῶς ἐδήλωσα ὅτι ἡμεῖς.

139 Ἡ δὲ ἀπαρέμφατος μόνη ἔγκλισις οὔτε ψυχῆς διάθεσιν δηλοῖ οὔτε πρόσωπον παριστᾷ· ἐὰν γὰρ εἴπω γράφειν οὔτε τί βούλομαι λέγειν ἐδήλωσα ἐὰν μὴ προσθήσω καὶ τί, οὔτε πρόσωπον ἐδήλωσα· Ἀλλ' ἐπεὶ τὸ ῥῆμα τοιοῦτόν ἐστιν οἷον εἴπομεν, φέρε καὶ πόσα τούτῳ παρέπεται λέγωμεν. Ὥσπερ ὅταν εἴπωμεν ἄνθρωπος, παρέπεται τούτῳ καὶ ἄλλα πολλά, οἷον τὸ δίπουν, τὸ περιπατεῖν ὀρθόν, τὸ εἶναι γελαστικόν, καὶ τὸ ἀκίνητα ἔχειν τὰ ὦτα· οὕτω καὶ τῷ ῥήματι ὀκτώ τινα παρακολουθοῦσιν· ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι καὶ συζυγίαι, περὶ ὧν ἑκάστου σαφέστατά σοι καὶ πλατικώτατα φθέγξομαι, ἵνα μηδέν σε τούτων διαλανθάνῃ. Περὶ ἐγκλίσεως, Ἔγκλισις μὲν οὖν ἐστι βουλήματος ψυχῆς ἔμφασις· τὰ δὲ βουλήματα τῆς ψυχῆς κεφαλαιωδῶς εἰσι τέσσαρα· ἢ γὰρ ἀληθεύειν καὶ ψεύδεσθαι βούλεται ἡ ψυχὴ καὶ λέγεται αὕτη ἡ βούλησις ὁριστική, ὡς ὁρίζουσα τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, ἢ προστάσσειν βούλεται καὶ λέγεται ἡ βούλησις αὕτη προστακτική, ἢ εὔχεσθαι θέλει καὶ λέγεται ἡ θέλησις αὕτη εὐκτική, ἢ αἰτίαν τινὰ παριστάνειν βούλεται καὶ λέγεται αὕτη ἡ βούλησις ὑποτακτική· ἐπεὶ γοῦν τέσσαρές εἰσιν αἱ τῆς ψυχῆς θελήσεις ἀκολούθως καὶ αἱ τῶν ῥημάτων ἐγκλίσεις. Οὐ γὰρ ἁπλῶς ἡ γλῶσσα ἐξ αὐτῆς τὰ παρατυχόντα λαλεῖ, ἀλλὰ τὰ τῆς ψυχῆς θελήματα διαφωτίζει καὶ ἐξαγγέλλει.

140 Ἔγκλισις δὲ τὸ τοιοῦτον λέγεται, διότι περὶ ἑκάστου θέλησιν ἐγκλίνεται ἤτοι τρέπεται ἡ ψυχή. Ὅταν οὖν εὔξασθαι ἡ ψυχὴ βουληθῇ καὶ ἐγκλιθῇ πρὸς τὴν εὐχὴν καὶ τραπῇ τηνικαῦτα καὶ ἡ ψυχή, εὐκτικὰ προβάλλει τὰ ῥήματα· καὶ λέγομεν τὰ τοιαῦτα ἔγκλισιν εὐκτικήν. τοιοῦτο μὲν ἡ ἔγκλισις· μέρη δὲ αὐτῆς κυρίως μὲν τέσσαρα ὡς προείπομεν, τὸ ὁριστικόν, ὅπερ ἀλήθειαν ἢ ψεῦδος ὁρίζει, οἷον τὸ τύπτω καὶ λέγω· εἰ δὲ οὐ τύπτω οὐδὲ λέγω, ἐψευσάμην εἰπών· δεύτερον τὸ προστακτικόν, ὅπερ ἀλήθειαν μὲν ἢ ψεῦδος οὐ παριστᾷ, κέλευσιν δὲ καὶ προσταγὴν ὑπεμφαίνει· τὸ γὰρ τύπτε καὶ λέγε ἀλήθειαν ἢ ψεῦδος οὐ παρεστήσατο, προσταγὴν δέ. Τρίτον τὸ εὐκτικόν, ὡς τό· εἰσέλθοι τάχιον ὁ αὐτοκράτωρ καὶ τό· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου, καὶ παῖδας ἐξ ὀσφύος αὐτοῦ πολλοὺς ἴδοιμι. Τέταρτον τὸ ὑποτακτικόν, ὅπερ αἰτίαν τινὰ ὑπεμφαίνει, οἷον ἐὰν εἴπωμεν, ὅτι ἐδόθη σοι χάρτης, εἶτα εἴπῃ ὅτι καὶ διὰ τίνα αἰτίαν ἐδόθη μοι, ἐπάγω τὸ ὑποτακτικὸν καὶ δηλῶ τὴν αἰτίαν, ὅτι ἵνα μανθάνῃς· λέγεται δὲ ἵνα μανθάνῃς ὑποτακτικόν, διότι προτέτακται μὲν ὁ ἵνα σύνδεσμος, ὑποτέτακται δὲ τὸ μανθάνῃς ῥῆμα καὶ διὰ τοῦτο ὑποτακτικὸν ὀνομάζεται, ὡς ὑποκάτω τοῦ συνδέσμου ταττόμενον. Αὗται μὲν οὖν εἰσιν αἱ κυρίως ἐγκλίσεις ἡ ὁριστική, ἡ προστακτική, ἡ εὐκτικὴ καὶ ἡ ὑποτακτική, ὡς καὶ βούλημα ψυχῆς παρεμφαίνουσαι. Περὶ ἀπαρεμφάτων. Ἡ δὲ ἀπαρέμφατος οὐκ ἔστι κυρίως ἔγκλισις ἀλλὰ καταχρηστικῶς, διότι οὐδὲ βούλημα ψυχῆς δηλοῖ. Διὰ τοῦτο γὰρ καὶ ὁ τεχνικὸς ἀπαρέμφατον αὐτὴν προσηγόρευσεν, ὡς μὴ παρεμφαίνουσα τὸ οἱονοῦν ψυχῆς βούλημα· ποῖον γάρ, εἰπέ μοι, δηλοῦται βούλημα ψυχικὸν, ὅταν εἴπωμεν τύπτειν ἢ λέγειν; πάντως οὐδέν.

141 Τοσαῦται μὲν οὖν εἰσιν αἱ ἐγκλίσεις καὶ τοιαῦταί τινες καὶ παρέπονται ἀναγκαίως τῷ ῥήματι. Ἅπασα γὰρ λέξις ῥηματικὴ ἐξ ἀνάγκης ὑπὸ μίαν τούτων τῶν ἐγκλίσεων ἀνάγεται· ἢ γὰρ ὁριστική ἐστιν ἢ προστακτικὴ ἢ εὐκτικὴ ἢ ὑποτακτικὴ ἢ ἀπαρέμφατος. Περὶ διαθέσεως. Διάθεσις δέ ἐστι δήλωσις, ἢ τοῦ ἐνεργεῖν ἢ τοῦ πάσχειν ἢ τοῦ μέσως ἔχειν· εἰ μὲν γὰρ εἴπω ἰατρεύω, ἰδοὺ ἐδήλωσα ὅτι διάκειμαι κατ' ἐνέργειαν, καὶ ἐγὼ ἐνεργῶ τῷ πάσχοντι τὴν ὑγιείαν παρὰ τοῦ ἰατρεύοντος· τὸ δὲ ἰατρευσάμην μέσον ἐστίν· δηλοῖ γὰρ καὶ τὸ ἰάτρευσα ἐνεργητικῶς, δηλοῖ καὶ τὸ ἰατρεύθην παθητικῶς, ὡς ἂν αὐτῷ τις χρήσηται· εἰ μὲν γὰρ εἴπῃς, ὅτι ἐγὼ ἰατρευσάμην τὸν ἄῤῥωστον, ἐνεργητική ἐστιν ἡ σημασία τοῦ ἰατρευσάμην· ἀντὶ γὰρ τοῦ ἰάτρευσα· τέτακται· εἰ δὲ εἴπῃς, ὅτι ἐγὼ ἰατρευσάμην ὑπὸ τοῦ ἰατροῦ παθητική ἐστιν ἡ σημασία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἰατρευσάμην· ἀντὶ γὰρ τοῦ ἰατρεύθην λαμβάνεται. Τρεῖς οὖν αἱ διαθέσεις· ἐνέργεια, πάθος, μεσότης· παρακολουθοῦσι δὲ αὗται ἐξ ἀνάγκης τῷ ῥήματι· πᾶσα γὰρ λέξις ῥηματικὴ ἢ ἐνεργητικὴ ἢ παθητικὴ ἢ μέση. Περὶ εἰδῶν. Εἴδη δὲ ῥημάτων εἰσὶ δύο, πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μὲν τὸ μὴ ἀφ᾽ ἑτέρου τινὸς γινόμενον, οἷον τὸ λέγω, παράγωγον δὲ ἀπὸ πρωτοτύπου τινὸς παραγόμενον, οἷον τὸ εὐλογῶ· τὸ μὲν γὰρ λέγω ἀπό τινος οὐ παράγεται καὶ διὰ τοῦτό ἐστι πρωτότυπον, τὸ δὲ εὐλογῶ ἀπὸ τοῦ εὖ παράγεται καὶ τοῦ λέγω καὶ διὰ τοῦτο παράγωγον λέγεται.

142 Οὐ μόνον δὲ ἡ ἔγκλισις καὶ ἡ διάθεσις ἐξ ἀνάγκης παρέπεται τῷ ῥήματι, ἀλλὰ καὶ τὸ εἶδος· πᾶσα γὰρ λέξις ῥηματικὴ ἢ πρωτότυπός ἐστιν ἢ παράγωγος. Περὶ σχημάτων. Σχήματα δὲ ῥημάτων εἰσὶ τρία, τὸ ἁπλοῦν, τὸ σύνθετον καὶ τὸ παρασύνθετον. Καὶ ἁπλοῦν μὲν ῥῆμα λέγεται τὸ ἀσύνθετον, ὅπερ μίαν ἔχει λέξιν, οἷον τὸ λέγω καὶ φιλῶ· σύνθετον δὲ τὸ ἀπὸ δύο συγκείμενον λέξεων, οἷον εὐλογῶ, φιλοσοφῶ· καὶ γὰρ τὸ εὐλογῶ ἀπὸ τοῦ εὖ καὶ λέγω σύγκειται καὶ τὸ φιλοσοφῶ ἀπὸ τοῦ φιλῶ καὶ τοῦ σοφός· παρασύνθετον δὲ τὸ μὴ μόνον ἀπὸ δύο ἀλλὰ καὶ ἀπὸ τριῶν συγκείμενον λέξεων, οἷον τὸ ὑπερευλογῶ καὶ τὸ ὑπερφιλοσοφῶ. Τούτων γὰρ τὸ μὲν ἀπὸ τοῦ ὑπέρ καὶ τοῦ εὖ καὶ τοῦ λέγω σύγκειται, τὸ δὲ ἀπὸ τῆς ὑπέρ καὶ τοῦ φιλῶ καὶ τοῦ σοφός. Παρέπεται οὖν καὶ τὸ σχῆμα ἐξ ἀνάγκης τῷ ῥήματι· πᾶσα γὰρ λέξις ῥηματικὴ ἢ ἁπλῆ ἐστι καὶ ἀσύνθετος ἤγουν μονόλεξος, ἢ σύνθετος καὶ δίλεξος, ἢ παρασύνθετος καὶ πολύλεξος. Περὶ ἀριθμῶν. Ἀριθμοὶ δέ εἰσι τρεῖς· ὁ ἑνικός, ὁ δυϊκὸς καὶ ὁ πληθυντικός. Παρέπονται δὲ καὶ οὗτοι τῷ ῥήματι· ἅπαν γὰρ ῥῆμα ἢ ἑνικῶς ἐκφέρεται ὡς τὸ λέγω λέγεις λέγει· ἕκαστον γὰρ τούτων ἕνα ἄνθρωπον εἰσάγει λέγοντα· τὸ μὲν γὰρ λέγω ἐμέ, τὸ δὲ λέγεις σέ, τὸ δὲ λέγει ἐκεῖνον· ἢ δυϊκῶς ὡς τὸ λέγετον· τοῦτο γὰρ δύο μόνους εἰσάγει λέγοντας· ἢ πληθυντικῶς, ὡς τὸ λέγομεν, λέγετε, λέγουσι. Ταῦτα γὰρ πολλοὺς εἰσάγουσι λέγοντας. Περὶ προσώπων.

143 Πρόσωπα τρία, πρῶτον, δεύτερον, τρίτον. Καὶ πρῶτον μέν ἐστι πρόσωπον, ὅταν ὁ λέγων περὶ ἑαυτοῦ τὸν λόγον ποιῆται, οἷον ἐγὼ τύπτω, ἐγὼ γράφω· δεύτερον δὲ πρόσωπόν ἐστιν, ὅταν περὶ τοῦ ὁμιλοῦντος αὐτῷ λέγῃ, οἷον σὺ ἀκούεις, σὺ λέγεις· τρίτον πρόσωπόν ἐστιν, ὅταν περὶ τινὸς τῶν ἐκτὸς ὁ λόγος γίνηται, οἷον ἐκεῖνος γράφει, ἐκεῖνος διαλέγεται. Παρακολουθοῦσι δὲ καὶ ταῦτα τῷ ῥήματι· ἅπαν γὰρ ῥῆμα ἢ πρωτοπροσώπως ἢ δευτεροπροσώπως ἢ τριτοπροσώπως ἐκφέρεται. Περὶ χρόνων. Χρόνος κυρίως μέν ἐστι μέτρον τῆς ἡλίου κινήσεως· ὁ γὰρ ἥλιος τῇ ἑαυτοῦ περιφορᾷ τὸν χρόνον καὶ γεννᾷ καὶ μετρεῖ· διαιρεῖται δὲ οὗτος ὁ χρόνος εἰς τὸ παρελθόν, οἷον τὸ χθές καὶ τὸ πέρυσι, καὶ εἰς τὸ ἐνεστώς, οἷον τὸ σήμερον καὶ τὸ νῦν, καὶ εἰς τὸ μέλλον, οἷον τὸ αὔριον καὶ εἰς νέωτα. Τοιοῦτος μὲν ὁ λεγόμενος κυρίως χρόνος· ἐπεὶ δὲ καὶ τὰ ῥήματα ἐνεργείας καὶ πάθη δηλοῦσι, τὰ δὲ πάθη καὶ ἐνέργειαι ἐν χρόνῳ πάντως εἰσί, διὰ τοῦτο καὶ αὐτὰ τὰ ῥήματα παρὰ τῷ τεχνικῷ χρόνοι ὠνομάσθησαν· καὶ ὥσπερ ὁ κυρίως χρόνος εἰς τρία διαιρεῖται, ὡς εἴπομεν, εἰς τὸ ἐνεστώς, εἰς τὸ παρεληλυθὸς καὶ εἰς τὸ μέλλον· οὕτω καὶ ὁ παρὰ τοῖς ῥήμασι χρόνος εἰς τρία καὶ αὐτὸς διαιρεῖται, εἰς τὸ ἐνεστώς, εἰς τὸ παρεληλυθὸς καὶ εἰς τὸ μέλλον. Καὶ ἀπορήσῃς ἄν, φιλολογωτάτη ψυχή, πῶς ἐπεὶ τρεῖς οἱ χρόνοι εἰσὶ πολλοὺς ἡμῖν καὶ διαφόρους χρόνους ὁ τεχνικὸς καὶ οὐχὶ τρεῖς μόνους παρέδωκεν, ἀλλ᾽ ἐνεστῶτάς τινας καὶ παρατατικοὺς καὶ παρακειμένους καὶ ὑπερσυντελικοὺς καὶ ἀορίστους καὶ τούτων τοὺς μὲν ἐνεργητικούς, τοὺς δὲ παθητικούς, τοὺς δὲ μέσους· ἔτι καὶ ἀορίστους πρώτους καὶ δευτέρους, καὶ μέλλοντας ὡσαύτως δευτέρους καὶ πρώτους καὶ οὕτω πολυσχεθῆ καὶ πολύτροπον τὴν τῶν χρόνων διαίρεσιν ἐποιήσατο.

144 Ἀλλ᾽ ἐγώ σοι τὴν ἀπορίαν ἐπιλυσαίμην ἄν, καὶ τὰς διαφορὰς ἑκάστου τῶν χρόνων ἀναδιδάξω σε καὶ τὰς σημασίας τῶν ὀνομάτων αὐτῶν, καὶ δείξω σοι, ὅτι καὶ ἐὰν πολλοὶ ἐνταῦθα οἱ χρόνοι φαίνωνται, ἀλλὰ πάντες εἰς τοὺς τρεῖς ἀνακορυφοῦνται, ἤτοι τὸν ἐνεστῶτα, τὸν

παρεληλυθότα καὶ τὸν μέλλοντα· καὶ πρόσσχες μοι τὸν νοῦν· ἔχει γὰρ διδασκαλίαν ὁ λόγος· τοῦ χρόνου τὸ μὲν ἐνεστὼς ἀμερές ἐστι καὶ ἕν· τὸ δὲ παρεληλυθὸς εἰς πολλὰ διαιρεῖται· ἢ γὰρ νῦν παρῆλθε καὶ προσεχῶς ἢ χθές, ἢ πρὸ τῆς χθὲς ἢ πέρυσιν· ὁμοίως καὶ τὸ μέλλον ἢ μέλλει γενέσθαι, ἢ ταχινώτερον, ἢ αὔριον ἢ μετὰ τὴν αὔριον. Διὰ τοῦτο τοίνυν καὶ ὁ τεχνικὸς ἕνα μὲν οὖν ἐποιήσατο ἐνεστῶτα χρόνον διὰ τὸ καὶ τὸ ἐνεστὼς ἑνιαῖον εἶναι, ὡς εἴπομεν, πολλοὺς δὲ παρεληλυθότας καὶ μέλλοντας διὰ τὸ πλάτος εἶναι, ὡς ἔφαμεν, ἔν τε τῷ παρεληλυθότι καὶ τῷ μέλλοντι· τὸ μὲν γὰρ ἔτι ἐνεργεῖν ἐνεστὼς λέγεται, οἷον τύπτω, λέγω, γράφω· ὅταν δὲ τὴν ἐνέργειαν ἐκείνην ἡμιτελῆ καταλείψω καὶ οὐ συγχωρηθῶ τελέσαι αὐτήν, ἀλλὰ μένῃ παρατεταμένη τε καὶ ἀπλήρωτος, τὸ τοιοῦτον παρατατικὸς ὀνομάζεται, οἷον τὸ ἔλεγον καὶ τὸ ἔγραφον καὶ τὸ ἔτυπτον. Ὅταν γὰρ ἔτυπτον μονονουχὶ λέγω, ὅτι ἔτυπτον μέν, ἀλλ' οὐ συνεχωρήθην τελειῶσαι τὴν τύψιν, καὶ ἔγραφον μὲν ἀλλ' οὐ συνεχωρήθην ἀπαρτίσαι τὸ γράμμα· εἰ γὰρ ἀπήρτισα, οὐκ ἂν εἶπον, ὅτι ἔγραφον, ἀλλ' ὅτι ἔγραψα· ἐπειδὴ παρετάθη μοι ἡ γραφὴ καὶ ἀπλήρωτος ἔμεινα διὰ τοῦτο παρατατικὸς ὁ τοιοῦτος χρόνος ὠνόμασται.

145 Εἰ δὲ τελειώσω μου τὴν ἐνέργειαν, ἔστι δὲ τὸ τέλος αὐτῆς προσεχὲς καὶ νῦν ἀκμὴν τελειωθὲν καὶ παρακείμενον ἐγγύς, ὁ τοιοῦτος χρόνος παρακείμενος ὀνομάζεται· ὅταν γὰρ λέγω γέγραφα καὶ τέτυφα, τοῦτο λέγω, ὅτι νῦν ἐπαυσάμην τοῦ γράφειν καὶ τύπτειν· διὰ τοῦτο καὶ ὁ τοιοῦτος χρόνος ὁ παρακείμενος συντελικὸς ὀνομάζεται ὡς σύνεγγυς τελεσθείς· ὅταν δὲ μετὰ τὸ τελειῶσαί με τὴν ἐνέργειαν διέλθῃ καιρός, εἰ μὲν ὡρισμένος εἴη ὁ τοιοῦτος χρόνος ὑπερσυντέλικος ὀνομάζεται· ἐὰν γὰρ ὁ νῦν τελειωθεὶς καὶ παρακειμένην ἔχων τὴν συμπλήρωσιν συντελικὸς ὀνομάζηται πάντως ὁ πορρωτέρω τούτου καὶ ὑπὲρ τοῦτο κείμενος ὑπερσυντέλικος δικαίως κληθήσεται· ἐὰν δὲ ἄγνωστόν ἐστι καὶ ἀόριστον ὁπότε τῆς ἐνεργείας ἐπαυσάμην, ὁ τοιοῦτος χρόνος ἀόριστος ὀνομάζεται, οἷον τὸ ἔτυψα καὶ τὸ ἔγραψα· ἀόριστον γάρ ἐστι, πότε ἐπαυσάμην τοῦ γράφειν καὶ τύπτειν· εἰ μὲν οὖν ἡ ἀοριστία αὕτη πολλή ἐστι καὶ μεγάλη πρῶτος ἀόριστος ὀνομάζεται, οἷον τὸ ἔτυψα, εἰ δὲ μικροτέρα καὶ ἀμυδροτέρα δεύτερος ἀόριστος προσαγορεύεται, οἷον τὸ ἔτυπον. Καὶ οὗτοι μὲν οἱ παρεληλυθότες, ὁ παρατατικός, ὅστις ἐστὶν ὁ παραταθεὶς καὶ μὴ πληρωθεὶς ὡς τὸ ἔτυπτον, ὁ παρακείμενος ὁ ἄρτι τελειωθεὶς καὶ ἐγγὺς παρακειμένην ἔχων τὴν πλήρωσιν, ὡς τὸ τέτυφα, ὁ ὑπερσυντέλικος, ὅστις ὑπὲρ τὸν παρακείμενον συντετέλεσται, ὡς τὸ ἐγεγράφειν· ὁ πρῶτος ἀόριστος ὁ παντελῆ τὴν ἀοριστίαν πληρούμενος, ὡς τὸ ἔτυψα, ὁ β' ἀόριστος καὶ μετὰ τὸν πρῶτον ὡς τὸ ἔτυπον. Ὥσπερ δὲ ἐπὶ τῶν παρεληλυθότων τούτων ἔχει καὶ λέγομεν πρῶτον μὲν ἀόριστον τὸν παντελῶς ἀορισταίνοντα, δεύτερον δὲ τὸν ὑφειμένον· οὕτως ἔχει καὶ ἐπὶ τῶν μελλόντων, καὶ τὸν μὲν ἄκρως τὸ μέλλον ἔχοντα ἢ πορρώτερον, μέλλοντα πρῶτον καλοῦμεν ὡς τὸ τύψω, τὸν δὲ ὑφειμένως τε καὶ μετριωτέρως, μέλλοντα δεύτερον ὡς τὸ τυπῶ.

146 Καὶ ταῦτα μὲν ἐπὶ τῆς ἐνεργητικῆς διαθέσεως· ὡσαύτως δὲ ἔχει καὶ ἐπὶ τῆς παθητικῆς· ὥσπερ γὰρ ἐπὶ τῶν ἐνεργητικῶν τὸ [ἔτι] ἐνεργεῖν ἐνεστῶτα λέγομεν, ὡς τὸ τύπτω· οὕτω καὶ ἐπὶ τῶν παθητικῶν τὸ ἔτι πάσχειν ἐνεστῶτα λέγομεν, ὡς τὸ τύπτομαι· καὶ ὥσπερ ἐκεῖ τὸ παραταθὲν καὶ μὴ τελειῶσαν τὴν ἐνέργειαν παρατατικὸς ἐκαλεῖτο· οὕτω καὶ ἐπὶ τῶν παθητικῶν τὸ παραταθὲν καὶ μὴ τελειῶσαν τὸ πάθος παρατατικὸς καὶ αὐτὸ λέγεται, ὡς τὸ ἐτυπτόμην· ὡσαύτως δὲ καὶ ἐπὶ παρακειμένου καὶ ὑπερσυντελίκου καὶ τῶν λοιπῶν· οἱ γὰρ αὐτοὶ χρόνοι ἔν τε ἐνεργητικοῖς καὶ παθητικοῖς εἰσιν· διαφέρουσι δὲ ἐν τούτῳ, ὅτι ἐν μὲν τοῖς ἐνεργητικοῖς μέσος παρακείμενος καὶ μέσος ὑπερσυντέλικος εὕρηται, μέσος δὲ ἀόριστος ἢ μέσος μέλλων οὐδαμῶς. Ἐν δὲ τοῖς παθητικοῖς τὸ ἀνάπαλιν· μέσος μὲν παρακείμενος καὶ μέσος ὑπερσυντέλικος οὐχ εὑρίσκεται, μέσος δὲ ἀόριστος πρῶτος καὶ δεύτερος καὶ μέσος μέλλων πρῶτος καὶ δεύτερος εὕρηται. Τὴν αἰτίαν δὲ τούτων ἐγώ σοι παραστήσω ἀριδηλότατα, καὶ τάχα με θαυμάσεις, φιλολογωτάτη μοι βασιλίδων, τοῦ ἐνθυμήματος. Γίνωσκε γάρ, ὅτι ἐκτὸς τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ ὁπόσοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν ἕτεροι χρόνοι εἰσὶν ἐνεργητικοὶ καὶ παθητικοί, τοσοῦτοι καὶ μέσοι εἰσί, καὶ τὸ θαυμασιώτατον, ὅτι μόνοι οἱ μέσοι ἰσάριθμοί εἰσι τοῖς ὅλοις ἐνεργητικοῖς καὶ παθητικοῖς· αὐτίκα μοι σκόπει· ἔχεις παρακείμενον ἐνεργητικὸν τὸ τέτυφα καὶ παρακείμενον παθητικὸν τὸ τέτυμμαι· ἰδοὺ παρακείμενοι δύο· ἔχεις καὶ μέσον παρακείμενον τὸ τέτυπα· ἀλλ' οὗτος ὁ μέσος εἰ καὶ εἷς φαίνεται, ἀλλὰ δύο ἐστίν, διότι ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος σημαίνει, διὸ καὶ μέσος καλεῖται· εἰ μὲν γὰρ εἴπω ἐγὼ τέτυπα τὸν δεῖνα, ἰδοὺ ἐνεργητικόν ἐστιν ἡ σημασία τοῦ τέτυπα· ἀντὶ γὰρ τοῦ ἔτυψα εἶπον· εἰ δὲ ἐγὼ τέτυπα τοῦ δεῖνος, παθητικῶς εἶπον ἀντὶ τοῦ ἐτύφθην ὑπὸ τοῦ δεῖνος.

147 Ἔχεις πάλιν ἐνεργητικὸν ὑπερσυντέλικον τὸ ἐτετύφειν καὶ παθητικὸν ὑπερσυντέλικον τὸ ἐτετύμμην καὶ μέσον ὑπερσυντέλικον τὸ ἐτετύπειν, ἀρκοῦν καὶ πρὸς ἐνέργειαν καὶ πάθος. Ἔχεις ἀόριστον πρῶτον παθητικὸν τὸ ἐτύφθην καὶ μέσον πρῶτον ἀόριστον τὸ ἐτυψάμην, δυνάμενον καὶ τοῦτον ἐπ' ἀμφοτέρων λέγεσθαι. Ἔχεις δεύτερον ἀόριστον ἐνεργητικὸν τὸ ἔτυπον, καὶ δεύτερον ἀόριστον παθητικὸν τὸ ἐτύπην καὶ μέσον δεύτερον ἀόριστον τὸ ἐτυπόμην. Πάλιν ἔχεις μέλλοντα πρῶτον ἐνεργητικὸν τὸ τύψω καὶ μέλλοντα πρῶτον παθητικὸν τὸ τυφθήσομαι καὶ μέσον μέλλοντα πρῶτον τὸ τύψομαι. Ἔχεις μέλλοντα δεύτερον ἐνεργητικὸν τὸ τυπῶ καὶ μέλλοντα δεύτερον παθητικὸν τὸ τυπήσομαι καὶ μέσον μέλλοντα δεύτερον τὸ τυποῦμαι. Ὁρᾷς, ὅσοι ἄν εἰσιν οἱ ἐνεργητικοὶ καὶ παθητικοὶ χρόνοι, τοσοῦτοι τυγχάνουσι καὶ οἱ μέσοι πλὴν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ. Αὐτοὶ γὰρ μόνοι μέσους οὐκ ἐπιδέχονται. Διὰ τοῦτο τοίνυν ὁ τεχνικὸς καταμερίσας αὐτοὺς ἐν μὲν τοῖς ἐνεργητικοῖς τὸ μέσον παρακείμενον καὶ τὸν μέσον ὑπερσυντέλικον ἔταξεν, ἐν δὲ τοῖς παθητικοῖς τοὺς δύο μέσους ἀορίστους, τὸν πρῶτον καὶ τὸν δεύτερον, καὶ τοὺς δύο μέσους μέλλοντας, τὸν πρῶτον καὶ τὸν δεύτερον, οὐδὲ τοῦτο ἀναιτίως ποιήσας, οὐδὲ ἀλόγως, ἀλλ' εὐαρμόστως καὶ τεχνικῶς. Καὶ τὴν αἰτίαν μάνθανε ἀφ' ἡμῶν, ἵν' εἰδῇς οἷος μὲν τεχνογράφος ἐκεῖνος, οἷος δ' ἐγὼ τοῦ τεχνογράφου ἑρμηνευτής. Γιγνωσκέτω σου ἡ μεγαλοφυΐα, ὅτι τὰ ἐνεργητικὰ ῥήματα ἢ εἰς ω λήγουσιν, ὡς τύπτω, τύψω, ἢ εἰς ον μικρόν, ὡς τὸ ἔτυπτον, ἔτυπον, ἢ εἰς α ὡς τέτυφα, ἔτυψα, ἢ εἰς ειν δίφθογγον, ὡς ἐτετύφειν· παθητικὸν δὲ οὐδὲν εἰς ταῦτα λήγει, ἀλλ' ἢ εἰς αι δίφθογγον, ὡς τὸ τύπτομαι, τέτυμμαι, ἢ εἰς ην ὡς τὸ ἐτύφθην, ἐτυπόμην καὶ τὰ τοιαῦτα.

148 Διὰ τοῦτο ὁ τεχνικὸς τὸν μέσον παρακείμενον καὶ τὸν μέσον ὑπερσυντέλικον ἐν τοῖς ἐνεργητικοῖς ἔταξε, διότι καὶ εἰς ἐνεργητικὰς λήγουσι καταλήξεις· ὁ μὲν γὰρ μέσος παρακείμενος εἰς α λήγει τέτυπα, ὡς τέτυφα, ὁ δὲ μέσος ὑπερσυντέλικος εἰς ειν δίφθογγον, ὡς ἐτετύφειν, τοὺς δὲ μέσους ἀορίστους καὶ μέλλοντας, ἐπειδὴ εἰς ην καὶ εἰς αι δίφθογγον λήγουσιν, ἅτινα τῆς παθητικῆς εἰσι καταλήξεως, διὰ τοῦτο ἐν τοῖς παθητικοῖς ἔταξεν. Ἔχεις τὴν αἰτίαν, δι' ἣν ἐν μὲν τοῖς ἐνεργητικοῖς μέσος παρακείμενος καὶ μέσος ὑπερσυντέλικος εὕρηται, ἐν δὲ τοῖς παθητικοῖς οἱ μέσοι ἀόριστοι καὶ οἱ μέσοι μέλλοντες. Περὶ τοῦ μετ' ὀλίγον μέλλοντος. Ἔστι δὲ καὶ ἕτερον εἶδος μέλλοντος, ὅπερ μετ' ὀλίγον μέλλων καλεῖται· διατί δὲ τοιαύτην ἔχει τὴν κλῆσιν ἐρῶ. Ὥσπερ γὰρ ἐπὶ τῶν παρεληλυθότων τὸ μὲν ἄρτι καὶ πρὸ ὀλίγου παρεληλυθὸς παρακείμενον λέγομεν καὶ τὸ προπολλοῦ παρελθὸν ἀόριστον ὀνομάζομεν· οὕτως ἔχει καὶ ἐπὶ τῶν μελλόντων. Εἰ μὲν γὰρ μέλλω τι ποιῆσαι μετὰ καιρὸν ἱκανόν, οὗτος ὁ χρόνος ὁ μέλλων ἁπλῶς καλεῖται· εἰ δὲ μέλλω τι ποιῆσαι ἢ παθεῖν μετ' ὀλίγον τινὰ καὶ στενὸν καιρόν, ὁ τοιοῦτος χρόνος μετ' ὀλίγον μέλλων καλεῖται, διότι μετ' ὀλίγον καιρὸν μέλλει ἐνεργηθῆναι· ὅταν γὰρ εἴπω τετύψομαι, ὅστις ἐστὶν ὁ μετ' ὀλίγον μέλλων, τότε ἐδήλωσα, ὅτι μετ' ὀλίγον μέλλει ἀποβῆναι ἡ τύψις. Διὰ τοῦτο καὶ ἐκ τοῦ παθητικοῦ παρακειμένου κανονίζεται ὁ τοιοῦτος χρόνος, διότι ὥσπερ ἐκεῖνος παρακειμένην ἔχει τὴν πλήρωσιν ἐγγύς, οὕτω καὶ οὗτος ἔχει τὸ μέλλον ἐγγὺς παρακείμενον. Τοσαῦτά σοι περὶ τῶν χρόνων ἐῤῥήθη τὸ τέως, οἵ τινες καὶ

αὐτῷ τῷ ῥήματι ἀναγκαίως παρέπονται· λείπεται δὲ καὶ περὶ τῶν συζυγιῶν εἰπεῖν· περὶ γὰρ τῶν ἄλλων ἑπτὰ τῶν παρεπομένων τῷ ῥήματι εἴπομεν.

149 Περὶ συζυγίας. Συζυγία τοίνυν ἐστὶ ῥήματος ἀκολουθία, τὰς πέντε ἐγκλίσεις περιέχουσα. Ἵνα γὰρ οὕτως εἴπω, ἑκάστη μὲν συζυγία περιέχει τὰς πέντε ἐγκλίσεις, τὴν ὁριστικήν, τὴν προστακτικήν, τὴν εὐκτικήν, τὴν ὑποτακτικὴν καὶ τὴν ἀπαρέμφατον· ἑκάστη δὲ ἔγκλισις περιέχει τὰς τρεῖς διαθέσεις, τὴν ἐνεργητικήν, τὴν παθητικὴν καὶ τὴν μέσην· ἑκάστη δὲ διάθεσις περιέχει τοὺς τρεῖς χρόνους, τὸν ἐνεστῶτα, τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα· ἕκαστος δὲ χρόνος περιέχει τοὺς τρεῖς ἀριθμούς, τὸν ἑνικόν, τὸν δυϊκὸν καὶ τὸν πληθυντικόν, ἕκαστος δὲ ἀριθμὸς περιέχει τὰ τρία πρόσωπα, τὸ πρῶτον, τὸ δεύτερον καὶ τὸ τρίτον, ὥστε λοιπὸν ἡ συζυγία τὸ περιεκτικώτατον ἁπάντων ἐστί· καλεῖται δὲ συζυγία, διότι συζευγνυμένου τοῦ ῥήματος τῷ ὀνόματι λόγος ἅπας ἀποτελεῖται. Συζυγίαι δέ εἰσι βαρύτονοι μὲν ἕξ, περισπώμεναι δὲ τρεῖς, εἰς ΜΙ δὲ τέσσαρες. Καὶ αἱ μὲν βαρύτονοι πρωτότυποί εἰσιν, αἱ δὲ περισπώμεναι ἀπὸ τῶν βαρυτόνων, αἱ δὲ τῶν εἰς ΜΙ ἀπὸ τῶν περισπωμένων. Τέως δὲ ἡμεῖς περὶ τῶν βαρυτόνων πρῶτον διδάξωμεν, ἵνα ἔχῃς διαγινώσκειν ἀκριβῶς ποῖον μὲν ῥῆμα πρώτης συζυγίας ἐστι, ποῖον δὲ δευτέρας, ποῖον δὲ τρίτης, ἢ τετάρτης ἢ πέμπτης ἢ ἕκτης, καὶ μηδέν σε τούτων διαλανθάνῃ καὶ ἵνα σαφέστερον ἡμῖν ὁ λόγος γένηται καταγεγράφθωσαν πρῶτον πάντα τὰ δεκαεπτὰ σύμφωνα· Β. Γ. Δ. Ζ. Θ. Κ. Λ. Μ. Ν. Ξ. Π. Ρ. Σ. Τ. Φ. Χ. Ψ. Τούτων δὲ οὕτω γεγραμμένων σκόπει μοι ἐντεῦθεν, ὁσάκις προβάλληταί σοι λέξις ῥηματικὴ καὶ ἐρωτήσει σέ [τις] ποίας συζυγίας ἐστὶν ἡ λέξις αὕτη ἀνάτρεχε εἰς τὸν τῆς λέξεως ἐκείνης ἐνεστῶτα· καὶ ἐπεὶ ἅπας ἐνεστὼς βαρύτονος ἑνικοῦ ἀριθμοῦ πρώτου προσώπου εἰς ω μέγα λήγει βλέπε ὄπισθεν τοῦ ω ποῖον σύμφωνον κεῖται· εἰ μὲν οὖν κεῖται τὸ Β ἢ τὸ Π ἢ τὸ Φ ἢ συνημμένον τὸ Π καὶ τὸ Τ θαῤῥούντως ἀποκρίθητι, ὅτι τὸ ῥῆμα τοῦτο πρώτης ἐστὶ συζυγίας τῶν βαρυτόνων.

150 Καὶ ἐάν σε πάλιν ἐρωτήσῃ ὅτι καὶ διατί πρώτη συζυγία ἐστὶν ἡ ἔχουσα τὸ Β ἢ Π ἢ Φ ἢ συνημμένως τὸ Π καὶ Τ, ἀποκρίθητι, ὅτι διὰ τοῦτο πρώτην αὐτὴν καλῶ, διότι πρῶτον σύμφωνον ἔχει τὸ Β καὶ τὸ οἰκεῖον αὐτῷ δασὺ τὸ Φ καὶ τὸ οἰκεῖον αὐτῷ ψιλὸν τὸ Π. Τὸ γὰρ Β μέσον ἐστὶ τοῦ Π καὶ Φ. Ἐπεὶ τοίνυν ἡ πρώτη συζυγία τῶν βαρυτόνων τὸ πρῶτον σύμφωνον ἔχει τὸ Β καὶ τὸ συγγενὲς τούτῳ ψιλόν, καὶ δασύ, μέτελθέ μοι καὶ ἐπὶ τὴν δευτέραν. Ὅσα γὰρ ῥήματα ὄπισθεν τοῦ ω ἔχουσι τὸ Γ ἢ τὸ Κ ἢ τὸ Χ ἢ συνημμένως τὸ ΚΤ ἐκεῖνα δευτέρας συζυγίας εἰσὶ διὰ τὴν [αὐτὴν] αἰτίαν. Ὡς γὰρ ἡ πρώτη συζυγία διὰ τὸ τὸ πρῶτον σύμφωνον ἔχειν τὸ Β καὶ τὰ τούτῳ συγγενῆ τὸ Π καὶ Φ πρώτη ἐλέγετο, οὕτω καὶ ἡ δευτέρα διὰ τὸ τὸ δεύτερον σύμφωνον ἔχειν τὸ Γ καὶ τὰ τούτῳ συγγενῆ το Κ καὶ Χ· μέσον γάρ ἐστι τὸ Γ τοῦ Κ καὶ Χ, δευτέρα συζυγία εἰκότως προσαγορεύεται. Ὡσαύτως καὶ ἡ τρίτη τρίτη καλεῖται διὰ τὸ τὸ τρίτον σύμφωνον ἔχειν τὸ Δ καὶ τὰ τούτῳ συγγενῆ τὸ Θ καὶ Τ· μέσον γάρ ἐστι τὸ Δ τοῦ Θ καὶ Τ. Ἐκ τούτου ἂν ἀκριβῶς ἔχῃς ἐπιγιγνώσκειν ταυτασὶ τὰς τρεῖς συζυγίας· ὅσα μὲν γὰρ ῥήματα ἐπὶ τοῦ ἐνεστῶτος ἔχουσι τὸ Β πρῶτον σύμφωνον καὶ τὰ γειτνιοῦντα τούτῳ, λέγω δὴ τὸ Φ καὶ Π καὶ ΠΤ συνημμένως ἐκεῖνα πρώτης συζυγίας εἶναι γίνωσκε· ὅσα δὲ τὸ δεύτερον ἔχουσι σύμφωνον τὸ Γ καὶ τὰ τούτῳ συγγενῆ τὸ Κ καὶ Χ καὶ συνημμένως τὸ ΚΤ ἐκεῖνα δευτέρας συζυγίας διαγίνωσκε· ὅσα δὲ τὸ τρίτον ἔχουσι σύμφωνον τὸ Δ καὶ τὰ τούτῳ συγγενῆ τὸ Θ καὶ Τ ἐκεῖνα τρίτης συζυγίας ἐπίστασο, ὥστε αἱ τρεῖς αὗται συζυγίαι τὰ τρία ψιλὰ ΚΠΤ καὶ τὰ τρία δασέα Θ, Φ, Χ καὶ ἓν δασὺ καὶ ἓν μέσον.

151 Καὶ ἐπεὶ δεκαεπτὰ τῶν ὅλων συμφώνων ὄντων τὰ ἐννέα ἐνταῦθα κατηναλώθησαν ἄχρι ποῦ καὶ τὰ ἄλλα ὀκτὼ καταναλοῦνται· ὅσα γὰρ εὑρήσεις ῥήματα ὄπισθεν τοῦ Ω μεγάλου τὸ τέταρτον ἔχοντα σύμφωνον τὸ Ζ ἢ δύο ΣΣ ἐκεῖνα τετάρτης μοι λέγε εἶναι συζυγίας· ὅσα δὲ ὄπισθεν τοῦ ω ἓν ἀπὸ τῶν τεσσάρων ἀμεταβόλων ἔχουσι Λ. Μ. Ν. Ρ. τῇ πέμπτῃ ταῦτα συζυγίᾳ προσανατίθεσο καὶ ἴδε μοι τὸν ἀριθμὸν τῶν συμφώνων, ὅσα τε τὰ πάντα εἰσὶ καὶ ὅσα ἐν ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πέντε ταύταις συζυγίαις ἡμεῖς παρελάβομεν, καὶ εὑρήσεις πάντως, ὅτι δεκαεπτὰ τῶν ἁπάντων ὄντων ἡμεῖς δεκαπέντε παρειλήφαμεν. Τρία μὲν γὰρ ἡ πρώτη ἔλαβε Β. Π. Φ. καὶ ὑπελείφθησαν δεκατέσσαρα, τρία ἡ δευτέρα Γ. Κ. Χ. καὶ ὑπελείφθησαν ἕνδεκα, τρία ἡ τρίτη Δ. Θ. Τ καὶ ὑπελείφθησαν ὀκτώ, δύο ἡ τετάρτη Ζ. Σ. καὶ ὑπελείφθησαν ἕξ, τέσσαρα ἡ πέμπτη Λ. Μ. Ν. Ρ. καὶ ὑπελείφθησαν δύο μόνα τὸ Ξ καὶ τὸ Ψ, ἅτινα ἐπὶ ἐνεστῶτος οὐχ εὑρίσκονται πλὴν τοῦ ἀλέξω, ὃ σημαίνει τὸ βοηθῶ καὶ ἕψω, ἀλλ' ἀεὶ ἐπὶ μέλλοντος θεωροῦνται ὡς τὸ τύψω καὶ λέξω. Ἐπεὶ γοῦν τὰ ἅπαντα σύμφωνα ἐν ταῖς πέντε ταύταις συζυγίαις κατηναλώκαμεν καὶ οὐκ ἔστιν ἡμῖν ἕτερόν ποτε σύμφωνον, ὅπερ ἂν τῇ ἕκτῃ χαρισαίμεθα συζυγίᾳ, ἐξ ἀνάγκης διὰ γυμνοῦ τοῦ ω ἡ ἕκτη αὕτη ἐκφέρεται συζυγία, ὡς τὸ ἀκούω, δεικνύω, παλαίω. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα διὰ καθαροῦ τοῦ ω ἐκφέρονται καὶ οὐδὲ ὄπισθεν τούτου σύμφωνον ἔχουσιν.

152 Οὕτως οὖν καὶ ἐκ τῆς προδοθείσης σοι ταύτης μεθόδου εὐκόλως ἂν δυνηθῇ διαγιγνώσκειν ἅπαν ῥῆμα ποίας ἐγκλίσεώς ἐστι καὶ ποίας διαθέσεως, ποίου εἴδους καὶ σχήματος καὶ ἀριθμοῦ καὶ προσώπου καὶ χρόνου καὶ συζυγίας, οἷον ἐάν, ὑπόθου, λέγω ῥῆμα εὕρῃς ἐν βίβλῳ γραφόμενον, οὐκ ἂν ἀπορήσῃς, ποίας ἐστὶν ἐγκλίσεως ἢ ποίας συζυγίας, ἀλλὰ διαγνῷς ἄν, ὅτι ὁριστικῆς, οὔτε ποίας διαθέσεώς ἐστιν ἀγνοήσῃς, ἀλλ' ἐπιγνοίης ἄν, ὅτι ἐνεργητικὴν ἐνέργειαν παριστᾷ τὸ λέγω, καταμάθῃς δὲ καὶ τὸ εἶδος αὐτοῦ, ὅτι πρωτότυπον· οὐδὲ γὰρ ἀπὸ τινὸς τὸ λέγω παράγεται, καὶ τὸ σχῆμα δὲ αὐτοῦ καταμάθῃς, ὅτι ἁπλοῦν· μονόλεξον γὰρ τὸ λέγω, καὶ τὸν ἀριθμόν, ὅτι ἑνικός, ἐξ ἑνὸς γὰρ τὸ λέγω, καὶ τὸ πρόσωπον, ὅτι πρῶτον, καὶ τὸν χρόνον, ὅτι ἐνεστώς, ἄρτι λέγω, καὶ τὴν συζυγίαν, ὅτι δευτέρα· γάμμα γὰρ κεῖται ὄπισθεν τοῦ ω, τὸ δὲ γάμμα δεύτερόν ἐστι σύμφωνον, καὶ διὰ τοῦτο καὶ ἡ συζυγία ἡ ἔχουσα τὸ Γ δευτέρα προσαγορεύεται. Ἀλλ' ἐπειδὴ περὶ τῶν παρεπομένων τῷ ῥήματι, ἐγκλίσεων λέγω καὶ διαθέσεων καὶ συζυγιῶν καὶ χρόνων ἀρκούντως εἴπομεν, φέρε καὶ ἑκάστην τῶν συζυγιῶν, ἃς ὁ τεχνικὸς ἐν τῇ αὐτοῦ βίβλῳ κατέταξεν, κατὰ μέρος ἐπισκοπήσωμεν ἀπὸ τοῦ τύπτω καὶ λείβω τὴν ἀρχὴν ποιησάμενοι, ἀφ' ὧν καὶ αὐτὸς ὁ τεχνικὸς ἤρξατο. Ὥσπερ γὰρ ἐπὶ τῶν ὀνομάτων ἐποίησε καὶ μυρίων ὄντων τῶν εἰς ας ληγόντων ὀνομάτων αὐτὸς δύο μόνους κανόνας τὸν Αἴαντα καὶ τὸν κοχλίαν παρέλαβε δεικνύων σοι διὰ τούτων καὶ τὰ λοιπὰ ἅπαντα· οὕτω καὶ ἐπὶ τῶν ῥημάτων ποιεῖ, καὶ μυρίων ὄντων ῥημάτων ὑπὸ μίαν ἑκάστην συζυγίαν, αὐτὸς ἓν παραλαμβάνει μόνον καὶ τοῦτο καταξαίνων διδάσκει διὰ τούτου οὕτω κανονίζειν τὰ ὅμοια τούτῳ ῥήματα.

153 Ἐπὶ μόνης δὲ τῆς πρώτης συζυγίας ἐφιλοτιμήσατο, καὶ δύο ἀνθ' ἑνὸς παρέλαβε ῥήματα, τὸ τύπτω καὶ τὸ λείβω, ἀμφότερα τῆς πρώτης συζυγίας ὄντα. Πρώτη γάρ ἐστι συζυγία, ὡς εἴπομεν, ἥτις ἔχει ὄπισθεν τοῦ Ω τὸ Β κείμενον, ὡς τὸ λείβω, ἢ τὸ Π ὡς το τέρπω, ἢ τὸ Φ ὡς τὸ τρέφω ἢ τὸ ΠΤ ὡς τὸ ῥάπτω. Καὶ τοῦτο γίνωσκε ἀκριβῶς, ὅτι ὡς ἂν σοὶ κανονίσωμεν τὰς ἐν τῷ τύπτω ἐγκλίσεις καὶ τοὺς χρόνους, οὕτω σε χρὴ κανονίζειν καὶ πάντα τὰ ῥήματα, ὅσα διὰ τοῦ Β ἢ Π ἢ Φ ἢ ΠΤ ἐκφέρονται. Ἀρκτέον δὲ ἡμῖν ἐκ τοῦ ἐνεστῶτος. Ὥσπερ γὰρ ἐπὶ τῶν ὀνομάτων πρώτη τῶν ἄλλων ἐστὶν ἡ εὐθεῖα τῶν ἑνικῶν, διότι αἱ μὲν ἄλλαι πτώσεις ἀπὸ ταύτης γίνονται, αὕτη δὲ ἀφ' ἑτέρου τινὸς οὐ γίνεται· οὕτω καὶ ἐπὶ τῶν ῥημάτων ἀρχὴ τῶν ἄλλων χρόνων ἐστὶν ὁ ἐνεστώς, διότι οἱ μὲν ἄλλοι χρόνοι ἐκ τούτου γίνονται καὶ κανονίζονται, αὐτὸς δὲ ἀφ' ἑτέρου τινὸς οὐ γίνεται. Ὁριστικά, ἐνεργητικά. Ἐνεστὼς συζυγίας τῶν βαρυτόνων. Τὸ τύπτω ἐγκλίσεως μέν ἐστιν ὁριστικῆς, διαθέσεως ἐνεργητικῆς, εἴδους δὲ πρωτοτύπου, σχήματος δὲ ἁπλοῦ, ἀριθμοῦ δὲ ἑνικοῦ, χρόνου δὲ ἐνεστῶτος, συζυγίας δὲ πρώτης τῶν βαρυτόνων· γίνεται δὲ καὶ πρόσωπον αὐτὸ μὲν τὸ πρῶτον τὸ τύπτω ἀπ' οὐδενός, τὸ δὲ δεύτερον πρόσωπον τὸ τύπτεις ἀπὸ τοῦ πρώτου γίνεται κατὰ τροπὴν τοῦ ω εἰς εις· ἀπὸ γὰρ τοῦ τύπτω τύπτεις· τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου κατὰ ἀποβολὴν τοῦ ς· ἀπὸ γὰρ τοῦ τύπτεις τύπτει. Καὶ οὕτω μὲν τὰ ἑνικὰ πρόσωπα, τὸ μὲν τρίτον ἀπὸ τοῦ δευτέρου, τὸ δὲ δεύτερον ἀπὸ τοῦ πρώτου, τὸ δὲ πρῶτον

ἀπ’ οὐδενός. Τὰ δὲ δυϊκὰ παράλογον τὴν γένεσιν ἔχουσιν· ἔδει γὰρ αὐτὰ ἀπὸ τῶν ἑνικῶν γίνεσθαι, διότι καὶ ἀπὸ τῶν ἑνικῶν τὰ δυϊκὰ γίνονται· τὰ δὲ παραλόγως οἷον καὶ παραδόξως ἀπὸ τῶν πληθυντικῶν κανονίζονται.

154 Καὶ πρῶτον μὲν ἐπὶ τῆς ἐνεργητικῆς διαθέσεως οὐκ ἔχουσι πρόσωπον, τὸ δεύτερον ἐκ του δευτέρου τῶν πληθυντικῶν ποιοῦσι, τὸ τέλος εἰς τον τρέποντες· ἀπὸ γὰρ τοῦ τύπτετε τύπτετον· τὸ δὲ τρίτον τῶν δυϊκῶν ποτὲ μὲν ὁμόφωνόν ἐστι τῷ ἰδίῳ δευτέρῳ, ὅτε δηλονότι τὸ τρίτον τῶν πληθυντικῶν εἰς ι λήγει· τύπτουσι γὰρ λέγομεν· ὅταν δὲ οὐχὶ εἰς ι οὐδὲ εἰς αι δίφθογγον λήγῃ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἀλλὰ εἰς ἄλλο τι, τότε οὐκ εἰσὶν ὁμόφωνα τὰ δυϊκά, ἀλλὰ τὸ δεύτερον αὐτῶν κατὰ τροπὴν τοῦ ον εἰς ην τὸ τρίτον ποιεῖ· ἀπὸ γὰρ τοῦ ἐτύπτετον ἐτυπτέτην λέγομεν. Καὶ οὕτω μὲν τὰ δυϊκά. Τὰ δὲ πληθυντικὰ οὐδὲ αὐτὰ ἢ ἀπὸ τῶν ἑνικῶν, ἢ ἀπὸ τῶν δυϊκῶν γίνονται, ἀλλὰ ἀπὸ τῶν οἰκείων μετοχῶν κανονίζονται· κανονίζονται δὲ οὕτως. Τύπτω ἐστὶν ὁ ἐνεστὼς καὶ ἡ μετοχὴ αὐτοῦ ὁ τύπτων καὶ κλίνεται τοῦ τύπτοντος· ἔκβαλέ μοι τὸ τος καὶ ὑπελείφθη τύπτον· ὄπισθεν δὲ τοῦ ν θὲς [τὴν] μὲν συλλαβὴν καὶ γίνεται τύπτομεν, ὅπέρ ἐστι τὸ πρῶτον τῶν πληθυντικῶν. Οὕτω μὲν ὁ τεχνικὸς αὐτὸ ἀπὸ τῆς μετοχῆς κανονίζει· ἐμοὶ δὲ οὐκ ἀρέσκει οὗτος ὁ λόγος· κάλλιον δέ μοι φαίνεται ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν τοῦ τύπτω τὸ πρῶτον τῶν πληθυντικῶν γίνεσθαι τὸ τύπτομεν· ἐὰν γὰρ τὸ τύπτω τρέψῃ τὸ ω μέγα εἰς Ο μικρὸν καὶ προσλάβῃ τὴν μεν τύπτομεν πάντως γενήσεται. Καὶ οὕτω μὲν τὸ πρῶτον τῶν πληθυντικῶν, τὸ δὲ δεύτερον ἀπὸ τοῦ πρώτου γίνεται κατὰ τροπὴν τοῦ μεν εἰς τὸ τε. Ἀπὸ γὰρ τοῦ τύπτομεν τύπτετε· τὸ δὲ τρίτον τῶν πληθυντικῶν ἀπὸ τῶν μετοχῶν καὶ τοῦτο κανονίζει ὁ τεχνικός, ὁμόφωνον εἶναι λέγων τῇ δοτικῇ τῆς μετοχῆς· ἔστι γὰρ ἡ μετοχὴ ὁ τύπτων, ἡ γενικὴ τοῦ τύπτοντος, ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ τύπτοντες, ἡ γενικὴ τῶν τυπτόντων, ἡ δοτικὴ τοῖς τύπτουσιν, οἷόν ἐστι καὶ τὸ τρίτον τῶν πληθυντικῶν καὶ τοῦτο γὰρ τύπτουσι λέγεται· ἀλλ’ οὕτω μὲν καὶ τοῦτο ὁ τεχνικὸς ἀπὸ τῆς μετοχῆς κανονίζει.

155 Ἐμοὶ δὲ οὐδὲ τοῦτο ἀρέσκει· τί γὰρ εὔλογόν ἐστι τὰ ὁριστικά, ἅτινα πρῶτα τῶν ἄλλων εἰσίν, ἀπὸ τῶν ὑστέρων τῶν μετοχῶν, κανονίζεσθαι· δοκεῖ δέ μοι κάλλιον εἶναι ἀπὸ τοῦ πρώτου τῶν πληθυντικῶν, τοῦ τύπτομεν, τὸ τρίτον αὐτῶν κανονίζειν τὸ τύπτουσιν· ἐὰν γὰρ τρέψῃς τὸ μεν εἰς σιν, προσλάβῃς δὲ καὶ ἐν τῇ παραληγούσῃ τὸ υ τὸ τύπτομεν τύπτουσι γίνεται. Ἀλλ’ οὕτω μὲν ἡ κλίσις τοῦ ἐνεστῶτος· ἴδωμεν δὲ καὶ τὸν παρατατικὸν πόθεν τε γίνεται καὶ πῶς κλίνεται. Περὶ παρατατικοῦ. Γίνεται μὲν οὖν ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἐνεστῶτος· ἔστι γὰρ ἡ μετοχὴ τοῦ ἐνεστῶτος ὁ τύπτων, ἡ γενικὴ τοῦ τύπτοντος· ἐὰν οὖν ἐκβάλῃς τὸ τος καὶ αὐξήσῃς μίαν συλλαβὴν ἐξ ἀρχῆς τὸ ε, ἔτυπτον ἐγένετο. Τὸ δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου γίνεται κατὰ τροπὴν τοῦ ον εἰς ες ἔτυπτον ἔτυπτες, τὸ τρίτον ἀπὸ τοῦ δευτέρου κατὰ ἀποβολὴν τοῦ ς, ἔτυπτες ἔτυπτε καὶ ἡ λοιπὴ κλίσις φανερά ἐστιν. Περὶ παρακειμένου. Ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος γίνεται· τύπτω γὰρ ὁ μέλλων τύψω, ὁ παρακείμενος τέτυφα, γίνεται δὲ πῶς; τρέπεται τὸ ψω εἰς φα καὶ γίνεται τύφα, λαμβάνει δὲ ἐν ἀρχῇ τήν τε συλλαβὴν διὰ τὸ ἐξανάγκης τὸν παρακείμενον ἐπιδεδέχθαι αὔξησιν καὶ γίνεται τέτυφα· διατί δὲ ἐπὶ τοῦ τύπτω ὁ μέλλων ἐστὶ διὰ τοῦ Ψ, ὁ παρακείμενος διὰ τοῦ Φ ἐγὼ σοὶ ἐρῶ, διότι τὸ Π ἔχει καὶ ἐπὶ τοῦ ἐνεστῶτος διὰ τοῦτο καὶ ὁ μέλλων τὸ Ψ, διότι τὸ Ψ ἀπὸ τοῦ Π καὶ Σ σύγκειται καὶ ὁ παρακείμενος Φ ἔχει διότι ἀντιστοιχεῖ τὸ Π τῷ Φ· ἀντιστοιχεῖν δέ ἐστι τὸ ἰσοστοιχεῖν ἤγουν ἐξισάζειν.

156 Κοινῷ δὲ λόγῳ ἐπὶ τῆς πρώτης συζυγίας ὁ μέλλων ἔχει τὸ Ψ καὶ ὁ παρακείμενος τὸ Φ, τύπτω, τύψω, τέτυφα, λείβω λείψω λέλειφα, γράφω, γράψω γέγραφα· καὶ τὰ τοιαῦτα ὁμοίως. Περὶ μέσου παρακειμένου. Ὁ μέσος παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου γίνεται καὶ ἔοικεν αὐτῷ κατὰ πάντα πλὴν ἑνός, ὅτι οὐκ ἔχει καὶ αὐτὸς τὸ Φ, ἀλλὰ τὸ σύμφωνον τοῦ ἐνεστῶτος· τέτυπα γάρ ἐστιν· κοινῷ δὲ λόγῳ ἅπας μέσος παρακείμενος τοιοῦτον σύμφωνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχει ἐν τῇ ληγούσῃ, οἷον ἔχει καὶ ὁ ἐνεστὼς αὐτοῦ· τύπτω τέτυπα, λείβω λέλειβα. Δι’ ἣν αἰτίαν ὁ τοιοῦτος χρόνος μέσος καλεῖται εἴρηται πρότερον, ὅτι ὡς δυνάμενος ποτὲ μὲν ἐνεργείας ποτὲ δὲ ἐπὶ πάθους λαμβάνεσθαι· ἔστι γὰρ καὶ τέτυπα ἐνεργητικὸν καὶ τέτυπα παθητικόν. Περὶ τοῦ ὑπερσυντελίκου. Ὁ ὑπερσυντέλικος ὁ ἐνεργητικὸς ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου γίνεται· τὸ γὰρ τέτυφα, ἐὰν τρέψῃ τὸ α εἰς τὴν ειν δίφθογγον προσλάβῃ δὲ καὶ κατ’ ἀρχὴν ἑτέραν αὔξησιν τὸ ε, ἐτετύφειν λέγεται, ὅπέρ ἐστιν ὁ ὑπερσυντέλικος. Διατί δὲ μίαν μὲν αὔξησιν ὁ παρακείμενος, δύο δὲ ὁ ὑπερσυντέλικος ἐπιδέχεται, δῆλον ὅτι ὁ μὲν ἐνεστὼς ἐπεὶ ἐνέστηκε καὶ ἔτι ἐνεργεῖ οὔτε αὔξησιν οὔτε ἐλάττωσιν ἔχει, ὁ δὲ παρακείμενος ἐπεὶ παρέδραμεν ὀλίγον τὸν ἐνεστῶτα διὰ τοῦτο καὶ μίαν ἔχει αὔξησιν καὶ μιᾷ συλλαβῇ ὑπάρχει τοῦ ἐνεστῶτος· τὸ μὲν γὰρ τύπτω δισύλλαβον, τὸ δὲ τέτυφα τρισύλλαβον, ὁ δὲ ὑπερσυντέλικος ἐπεὶ κατὰ πολὺ παρῆλθε τὸν ἐνεστῶτα διὰ τοῦτο δύο τὰς αὐξήσεις ἔχει, τύπτω ἐτετύφειν.

157 Διατί δὲ δίφθογγός ἐστι τὸ φειν αὐτὸς ὁ τεχνικός φησι· τῶν γὰρ εἰς ειν παρεληλυθότων χρόνων οἱ μὲν ἐνεργητικοὶ δίφθογγον ἔχουσι τὸ ειν, οἱ δὲ παθητικοὶ ἦτα. Περὶ τοῦ μέσου ὑπερσυντελίκου. Ὁ μέσος ὑπερσυντέλικος ἐκ τοῦ μέσου παρακειμένου γίνεται, ὥσπερ ὁ ἐνεργητικὸς ὑπερσυντέλικος ἐκ τοῦ ἐνεργητικοῦ παρακειμένου· ὡς γὰρ ἀπὸ τοῦ τέτυφα ἐτετύφειν, οὕτω καὶ ἀπὸ τοῦ τέτυπα ἐτετύπει ν . Περὶ τοῦ ἀορίστου πρώτο υ . Ὁ ἀόριστος α′ ὁ ἔτυψα ἀπὸ τοῦ τύψω μέλλοντος γίνεται· ἐκ τούτου γὰρ ἔχει τὸ ψ· τὸ γὰρ τύψω ἐὰν τρέψῃ τὸ ω εἰς α καὶ προσλάβῃ κατ’ ἀρχὴν τὸ ε ἔτυψα γίνεται. Περὶ τοῦ ἀορίστου δευτέρου. Ὁ ἔτυπον ἀπὸ τοῦ πρώτου γίνεται τροπῇ τοῦ ψα εἰς πον· ὥσπερ γὰρ ὁ μέσος παρακείμενος ἀεὶ ἐν τῇ ληγούσῃ τὸ σύμφωνον ἔχει τοῦ ἐνεστῶτος, οὕτω καὶ ὁ δεύτερος ἀόριστος. Περὶ μέλλοντος πρώτου. Ὁ τύψω μέλλων ἀπὸ τοῦ ἐνεστῶτος γίνεται, τὸ τ μόνον εἰς τὸ ς τρέψας καὶ συνάψας τὸ π καὶ ς εἰς ψ. Διατί δὲ οὐχὶ καὶ ὁ μέλλων τὴν αὔξησιν ἐπιδέχεται ὡς ὁ ἀόριστος καὶ ὁ ὑπερσυντέλικος καὶ ὁ παρακείμενος καὶ ὁ παρατατικός; διότι ἐκεῖνοι παρεληλυθότες εἰσὶ καὶ μακρότεροι τοῦ ἐνεστῶτος κείμενοι, διὰ τοῦτο καὶ κατὰ τὴν ἀναλογίαν τῆς ἀποστάσεως πλείονας ἔχουσιν αὐτοῦ συλλαβάς, ὁ δὲ μέλλων ἐπεὶ οὐ γέγονεν ἔτι ἀλλὰ μέλλει γενέσθαι, διὰ τοῦτο συνέσταλται καὶ ταῖς συλλαβαῖς.

158 Περὶ μέλλοντος δευτέρου. Ὁ τυπῶ ἀπὸ τοῦ δευτέρου γίνεται ἀορίστου τοῦ ἔτυπον κατὰ ἀποβολὴν τοῦ ε καὶ τροπῇ τοῦ ον εἰς ω. Ἔχεις μοι τοὺς ὁριστικοὺς ἐνεργητικοὺς χρόνους καὶ πόθεν ἕκαστος γίνεται, ὅτι ὁ μὲν ἐνεστὼς ἀπ’ οὐδενός, ὁ δὲ παρατατικὸς ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἐνεστῶτος, ὁ δὲ παρακείμενος ἀπὸ τοῦ μέλλοντος, ὁ δὲ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου, ὁ δὲ πρῶτος ἀόριστος ἀπὸ τοῦ μέλλοντος, ὁ δὲ δεύτερος ἀπὸ τοῦ πρώτου ἀορίστου, ὁ δὲ πρῶτος μέλλων ἀπὸ τοῦ ἐνεστῶτος, ὁ δὲ δεύτερος μέλλων ἀπὸ τοῦ δευτέρου ἀορίστου. Ἤδη δὲ καὶ τοὺς ὁριστικοὺς παθητικοὺς ἀνασκοπήσωμεν χρόνους. Περὶ τοῦ παθητικοῦ ἐνεστῶτος. Ἔστι μὲν οὖν ὁ παθητικὸς ἐνεστὼς τύπτομα ι , γίνεται δὲ ἀπὸ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος τοῦ τύπτω. Τὸ γὰρ τύπτω, ἐὰν τρέψῃ τὸ ω μέγα εἰς μικρὸν καὶ προσλάβῃ τὴν μαι τύπτομαι γίνεται· τὸ δεύτερον αὐτοῦ πρόσωπόν ἐστι μὲν τύπτ ῃ , γίνεται δὲ ἀπὸ τοῦ τρίτου τοῦ τύπτεται· ἐκβαλλομένου γὰρ τοῦ Τ γίνεται τύπτεαι, εἶτα τὸ ε καὶ α εἰς η κραθέντος ἐγένετο τύπτηϊ, τοῦ δὲ τελευταίου ι μὴ ἐκφωνουμένου ἀλλὰ προσγραφομένου κάτωθεν γέγονε τύπτῃ· τὸ δὲ τρίτον πρόσωπόν ἐστι μὲν τύπτετα ι , γίνεται δὲ ἀπὸ τοῦ τύπτομαι τροπῇ τῆς μαι εἰς ται καὶ ἀλλαγῇ τοῦ τῆς παραληγούσης ο εἰς ε. Καὶ τοιαῦτα μὲν τὰ ἑνικὰ τοῦ παθητικοῦ ἐνεστῶτος. Καὶ οὕτω γίνεται τὰ δυϊκά· ἀπὸ τῶν πληθυντικῶν γίνονται· τὸ μὲν πρῶτον πρόσωπον τὸ τυπτόμεθον ἀπὸ τοῦ πρώτου τῶν πληθυντικῶν τοῦ τυπτόμεθα τροπῇ τῆς θα εἰς θον, τὸ δεύτερον τύπτεσθον ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τοῦ τύπτεσθε τροπῇ τῆς σθε εἰς σθον, τὸ δὲ τρίτον τῶν δυϊκῶν τὸ τύπτεσθον οὐκ ἀπὸ τοῦ τρίτου τῶν πληθυντικῶν τοῦ τύπτονται, ἀλλὰ ἀπὸ τοῦ ἰδίου δευτέρου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

159 Τῶν δὲ πληθυντικῶν προσώπων τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν γίνεται κατὰ τροπὴν τῆς μαι διφθόγγου εἰς μεθα· ἐκ γὰρ τοῦ τύπτομαι τυπτόμεθα · τὸ δὲ δεύτερον ἐκ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τῆς ται διφθόγγου εἰς σθε, τύπτεται τύπτεσθ ε , τὸ δὲ τρίτον τῶν πληθυντικῶν καὶ αὐτὸ ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνεται· τὸ γὰρ τύπτεται ἐὰν προσλάβῃ ὄπισθεν τοῦ ται ν καὶ τρέψῃ καὶ τὸ τῆς παραληγούσης ε εἰς ο τύπτονται γίνεται. Περὶ τοῦ παθητικοῦ παρατατικοῦ. Ὁ παθητικὸς παρατατικὸς ὁ ἐτυπτόμην ἀπὸ τοῦ παθητικοῦ ἐνεστῶτος τοῦ τύπτομαι γίνεται, τρεπομένου τοῦ μαι εἰς μην καὶ προσλαμβανομένου κατ' ἀρχὰς τοῦ ε· τύπτομαι ἐτυπτόμην· ἀεὶ γὰρ οἱ παρατατικοὶ ἀπὸ τῶν ἰδίων ἐνεστώτων γίνονται, ὁ ἐνεργητικὸς ἐκ τοῦ ἐνεργητικοῦ καὶ ὁ παθητικὸς ἐκ τοῦ παθητικοῦ. Περὶ τοῦ παθητικοῦ παρακειμένου. Ὁ παθητικὸς παρακείμενος ὁ τέτυμμαι ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ τέτυφα κανονίζεται, τρεπομένου τοῦ φα εἰς μαι καὶ προσλαμβανομένου ἑτέρουμ, τέτυφα τέτυμμαι. Τοῦτο γάρ σοι κοινῶς περὶ τῶν παθητικῶν παρακειμένων ἔστω γνωστόν, ὅτε μὲν ὁ ἐνεργητικὸς μέλλων ἔχει τὸ ψ, τότε ὁ παθητικὸς παρακείμενος διὰ δύο μμ γράφεται, τύψω τέτυμμαι, γράψω γέγραμμαι· εἰ δὲ ξ ἔχει ὁ μέλλων, τότε ὁ παθητικὸς παρακείμενος διὰ τοῦ γ καὶ μ ἐκφέρεται, πλέξω πέπλεγμαι, ὀρύξω ὤρυγμαι, εἰ δὲ ς ἔχει ὁ μέλλων, τότε ὁ παθητικὸς παρακείμενος διὰ τοῦ ς καὶ μ ἐκφέρεται ἐλεύθω ἤλευσμαι, ἀκούω ἤκουσμαι.

160 Περὶ τοῦ παθητικοῦ ὑπερσυντελίκου. Ὁ παθητικὸς ὑπερσυντέλικος ὁ ἐτετύμμην ἀπὸ τοῦ παθητικοῦ παρακειμένου· τοῦ τέτυμμαι γίνεται, τροπῇ τῆς μαι εἰς μην καὶ προσόδῳ τοῦ ε τέτυμμαι ἐτετύμμην· καθόλου γὰρ οἱ ὑπερσυντέλικοι ἀπὸ τῶν παρακειμένων γίνονται, ὁ ἐνεργητικὸς ἀπὸ τοῦ ἐνεργητικοῦ καὶ ὁ παθητικὸς ἀπὸ τοῦ παθητικοῦ. Περὶ τοῦ παθητικοῦ ἀορίστου πρώτου. Ὁ παθητικὸς πρῶτος ἀόριστος ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γίνεται καὶ αὐτός· ἐκ γὰρ τοῦ τέτυμμαι, ἐὰν ἀποβάλῃς τὸ κατ' ἀρχὰς Τ καὶ τρέψῃς τὴν μαι εἰς θην καὶ τὸ ἕτερον μ εἰς φ πάλιν τρέψῃς, ἐτύφθην γίνεται. Περὶ τοῦ παθητικοῦ ἀορίστου δευτέρου. Ὁ παθητικὸς δεύτερος ἀόριστος ὁ ἐτύπην ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου ἀορίστου τοῦ ἔτυπον γίνεται κατὰ τροπὴν τοῦ ον εἰς ην. Περὶ τοῦ μέσου ἀορίστου πρώτου. Ὁ μέλλων ἀόριστος πρῶτος ἐτυψάμην ἀπὸ τοῦ ἐνεργητικοῦ πρώτου ἀορίστου τοῦ ἔτυψα γίνεται, πλεονάζοντος μόνον τοῦ μην ἔτυψα ἐτυψάμην, Περὶ τοῦ μέσου ἀορίστου δευτέρου.

161 Ὁ μέσος δεύτερος ἀόριστος ὁ ἐτυπόμην ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου ἀορίστου γίνεται τοῦ ἔτυπον, ἐκβαλλομένου τοῦ ν καὶ πλεονάζοντος τοῦ μην, ἔτυπον ἐτυπόμην. Περὶ τοῦ παθητικοῦ μέλλοντος πρώτου. Ὁ παθητικὸς μέλλων ὁ τυφθήσομαι ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ ἀορίστου γίνεται, λέγω δὴ τοῦ ἐτύφθη, προσθέσει τῆς σομαι καὶ συστολῇ τῆς ἀρχούσης. Περὶ τοῦ παθητικοῦ μέλλοντος δευτέρου. Ὁ παθητικὸς μέλλων δεύτερος ὁ τυπήσομαι ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ δευτέρου ἀορίστου γίνεται, λέγω δὴ τοῦ ἐτύπη προσθέσει τῆς σομαι καὶ συστολῇ τῆς ἀρχούσης. Περὶ τοῦ μέσου μέλλοντος πρώτου. Ὁ τύψομαι μέσος μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεργητικοῦ πρώτου μέλλοντος τοῦ τύψω γίνεται, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν καὶ προσθέσει τῆς μαι. Περὶ τοῦ μέσου μέλλοντος δευτέρου. Ὁ τυποῦμαι μέσος μέλλων δεύτερος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου μέλλοντος; τοῦ τυπῶ γίνεται, τροπῇ τοῦ ω μεγάλου εἰς τὴν ου δίφθογγον καὶ προσθέσει τῆς μαι, οἷον τυπῶ τυποῦμαι. Περὶ τοῦ μετ' ὀλίγον μέλλοντος.

162 Ὁ μετ' ὀλίγον μέλλων ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου, λέγω δὴ τοῦ τέτυψαι γίνεται. Τὸ γὰρ τέτυψαι ἐὰν ὄπισθεν τῆς αι διφθόγγου ο καὶ μ προσλάβῃ τετύψομαι γίνεται, ὅπέρ ἐστι μετ' ὀλίγον μέλλων. Καὶ περὶ τῶν ὁριστικῶν ἀρκεῖ τοσαῦτα. Περὶ ἀπαρεμφάτων. Περὶ δὲ τῶν ἀπαρεμφάτων τῶν ἐνεργητικῶν λέγωμεν, ἐκεῖνο πρότερον εἰπόντες, ὅτι οἱ χρόνοι, οὓς ἐν τοῖς ὁριστικοῖς ἀπηριθμησάμεθα, λέγω δὴ ὁ ἐνεστώς, ὁ παρατατικός, ὁ παρακείμενος καὶ οἱ λοιποὶ ἄλλος πρὸς ἄλλον οἰκειότητα ἔχουσι, διὸ καὶ ἐν

τοῖς ὁριστικοῖς ἕκαστος αὐτῶν ἰδιαζόντως ἐτέθη· ἰδίᾳ μὲν ὁ ἐνεστώς, ἰδίᾳ δὲ ὁ παρατατικὸς καὶ οἱ ἄλλοι πάντες ὡσαύτως· ἀλλ’ ἐν ταῖς ἄλλαις ἐγκλίσεσιν οἰκειότητα πρὸς ἀλλήλους ἔχοντες συνάπτονται καὶ συμπλέκονται καὶ οἱ δύο ἕνα χρόνον ἀποτελοῦσι. Ποῖοι δέ εἰσι καὶ πρὸς ποίας οἰκειοῦνται, ἐγώ σε διδάξω καὶ παραδώσω σοι σημεῖόν τι εὐκολώτατον, ἀφ’ οὗ ἂν ἐπιγιγνώσκειν ἔχοις τὰς τῶν χρόνων οἰκειότητας. Βλέπε μοι τὰς τελευταίας συλλαβὰς τῶν χρόνων, καὶ ὅσας εὑρήσεις τὰ αὐτὰ σύμφωνα ἐχούσας, ἐκείνους τοὺς χρόνους γίνωσκε συγγένειαν ἀλλήλοις ἔχοντας καὶ ἐπερχομένους εἰς ἓν καὶ ἕνα χρόνον ἐκ δύο ἀποτελοῦντας· αὐτίκα τὸ τύπτω ὁ ἐνεστὼς καὶ τὸ ἔτυπτον ὁ παρατατικὸς ἐπειδὴ ἀμφότεροι [εἰς] πτ ἐν ταῖς τελευταίαις συλλαβαῖς ἔχουσι, διὰ τοῦτο συγγενεῖς τέ εἰσι καὶ εἰς ἕνα χρόνον συνέρχονται. Τὸ γὰρ τύπτειν ἀπαρέμφατον οὐ μόνον ἐνεστῶτός εἰσιν ἀλλὰ καὶ παρατατικοῦ· πάλιν τὸ τέτυφα ὁ παρακείμενος καὶ τὸ ἐτετύφειν ὑπερσυντέλικος, ἐπειδὴ τὸ φ ἔχουσιν ἐν ταῖς τελευταίαις συλλαβαῖς καὶ ἀμφότεροι διὰ τοῦτο καὶ οὗτοι ἑνούμενοι ἕνα χρόνον ἀποτελοῦσι· τὸ γὰρ τετυφέναι ἀπαρέμφατον κοινόν ἐστι παρακειμένου καὶ ὑπερσυντελίκου καὶ πάλιν τὸ τέτυπα ὁ μέσος παρακείμενος καὶ τὸ ἐτετύπειν ὁ μέσος ὑπερσυντέλικος, διότι ἐν ταῖς τελευταίαις συλλαβαῖς ἔχουσιν ἄμφω τὸ π, διὰ τοῦτο καὶ οὗτοι εἰς ἕνα χρόνον συνάγονται.

163 Τὸ γὰρ τετυπέναι μέσου ἐστὶ παρακειμένου καὶ ὑπερσυντελίκου κοινῶς. Ὡσαύτως καὶ τὸ ἔτυψα ἀόριστος καὶ τὸ τύψω ὁ μέλλων διὰ τὸ ἔχειν ἀμφοτέρους τὸ ψ, διὰ τοῦτο καὶ οὗτοι εἰς ἓν συνάγονται. Ἔχεις τοιγαροῦν τέτταρας χρόνων οἰκειότητας, ἐνεστῶτος πρὸς παρατατικὸν μίαν, παρακειμένου πρὸς ὑπερσυντέλικον ἄλλην, μέσου παρακειμένου πρὸς μέσον ὑπερσυντέλικον, ἑτέραν, καὶ ἄλλην ἀορίστου πρὸς μέλλοντα· οὐ μόνον, ὅτι τὰ αὐτὰ ἔχουσιν ἐν ταῖς ληγούσαις συλλαβαῖς σύμφωνα, ὅπερ ἔφαμεν, ἀλλ’ ὅτι καὶ αἱ γενέσεις αὐτῶν οὐχ ἑτέρωθέν εἰσιν· ὁ μὲν γὰρ παρατατικὸς ἀπὸ τοῦ συγγενοῦς αὐτῷ τοῦ ἐνεστῶτος γεννᾶται, ὁ δὲ ὑπερσυντέλικος ἀπὸ τοῦ γειτονοῦντος αὐτῷ τοῦ παρακειμένου κυΐσκεται, ὁ δὲ μέσος ὑπερσυντέλικος ἀπὸ τοῦ μέσου παρακειμένου προέρχεται· ἀπὸ γὰρ τοῦ τέτυπα τὸ ἐτετύπειν· καὶ ἀόριστος ἀπὸ τοῦ μέλλοντος πρόεισιν· ἀπὸ γὰρ τοῦ τύψω τὸ ἔτυψα. Ἀλλ’ ἐπεὶ τὰς τῶν χρόνων οἰκειότητας ἐντεῦθεν ἔμαθες ἄκουε λοιπὸν καὶ περὶ τῆς τῶν ἀπαρεμφάτων ἐγκλίσεως. Ἐνεργητικὸς ἐνεστὼς καὶ παρατατικός. Τύπτειν ἐστὶ μὲν χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ· ἑνοῦνται γὰρ οἱ χρόνοι ἐνταῦθα, ὡς εἴπομεν· κανονίζεται δὲ ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ ὁριστικοῦ ἐνεστῶτος, λέγω δὴ τοῦ τύπτει· τὸ γὰρ τύπτει προσλαβὸν τὸ ν γίνεται τύπτειν, ὅπέρ ἐστιν ἀπαρέμφατον· ἀπαρέμφατον δὲ λέγεται ὡς προείπομεν διὰ τὸ μὴ παρεμφαίνειν μήτε βούλημα ψυχῆς ὡς ἄλλαι ἐγκλίσεις, μήτε πρόσωπον, μήτε ἀριθμόν· οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ὁριστικῆς ἐγκλίσεως ἔχομεν πρῶτον πρόσωπον τὸ τύπτω καὶ δεύτερον τὸ τύπτεις καὶ τρίτον τὸ τύπτει, καὶ αὖθις δυϊκὰ καὶ πληθυντικά, οὕτως ἔχει καὶ ἐπὶ τῆς ἀπαρεμφάτου· ἀλλὰ καὶ ἐπὶ ἑνικῶν καὶ πληθυντικῶν καὶ ἐπὶ πρώτου καὶ δευτέρου καὶ τρίτου προσώπου τὸ τύπτειν μόνον εὑρίσκεται.

164 Περὶ παρακειμένου καὶ ὑπερσυντελίκου. Τὸ τετυφέναι ἐστὶ μὲν χρόνου παρακειμένου καὶ ὑπερσυντελίκου· γίνεται δὲ ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ἐνεργητικοῦ ὁριστικοῦ παρακειμένου τοῦ τέτυφε προσθέσει τῆς ναι συλλαβῆς· τὸ γὰρ τέτυφε προσλαβὸν τὴν ναι συλλαβὴν τετυφέναι γίνεται. Περὶ μέσου παρακειμένου καὶ μέσου ὑπερσυντελίκου. Τὸ τετυπέναι χρόνου μέν ἐστι μέσου παρακειμένου καὶ ὑπερσυντελίκου· γίνεται δὲ καὶ τοῦτο ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τοῦ ὁριστικοῦ μέσου παρακειμένου, λέγω τοῦ τέτυπε προσθήκῃ τῆς ναι. Περὶ ἀορίστου πρώτου. Τὸ τύψαι ἐστὶ μὲν χρόνου ἀορίστου πρώτου· γίνεται δὲ καὶ τοῦτο ἀπὸ τοῦ πρώτου προσώπου τοῦ ὁριστικοῦ πρώτου ἀορίστου, λέγω δὴ τοῦ ἔτυψα ἐκβολῇ τοῦ κατ’ ἀρχὰς ε καὶ προσθήκῃ τοῦ ι· τὸ γὰρ ἔτυψα ἐὰν ἀποβάλῃ τὸ ε καὶ προσλάβῃ ἐπὶ τέλους τὸ ι τύψαι γίνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

165 [Περὶ μέλλοντος πρώτου καὶ δευτέρου.] Τὸ τύψειν χρόνου μέν ἐστι μέλλοντος πρώτου· γίνεται δὲ ὁμοίως καὶ τοῦτο ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ ὁριστικοῦ πρώτου μέλλοντος, λέγω δὴ τοῦ τύψει, προσθήκῃ τοῦ ν· τὸ γὰρ τύψει προσλαβὸν τὸ ν τύψειν γίνεται. Ὡσαύτως καὶ τὸ τυπεῖ ν , ὅπέρ ἐστι χρόνου μέλλοντος δευτέρου ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ ὁριστικοῦ δευτέρου μέλλοντος γίνεται, λέγω τοῦ τυπεῖ κατὰ προσθήκην τοῦ ν. Καὶ ἁπλῶς ἕκαστος τῶν ἀπαρεμφάτων χρόνος ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ γίνεται, ὁ ἐνεστὼς ἀπὸ τοῦ ἐνεστῶτος ὁριστικοῦ, ὁ παρακείμενος ἀπὸ τοῦ παρακειμένου, καὶ ὁ ἀόριστος ἀπὸ τοῦ ἀορίστου καὶ ὁ μέλλων ἀπὸ τοῦ μέλλοντος· οὐ μόνον δὲ ἐπὶ τῶν ἐνεργητικῶν οὕτως ἔχει, ἀλλὰ καὶ ἐπὶ τῶν παθητικῶν. Περὶ ἀπαρεμφάτων παθητικῶν. Τὸ τύπτεσθαι χρόνου μέν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ παθητικοῦ· γίνεται δὲ ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ὁριστικοῦ παθητικοῦ ἐνεστῶτος, λέγω δὴ τοῦ τύπτεται. Τὸ γὰρ τύπτεται τρέπον τὴν ται εἰς θαι προσλαμβάνον δὲ ὄπισθεν τοῦ θαι ς τύπτεσθαι γίνεται. Ὥσπερ καὶ τὸ τετύφθαι χρόνου παρακειμένου καὶ ὑπερσυντελίκου ἐστίν· γίνεται δὲ ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ ὁριστικοῦ παθητικοῦ παρακειμένου, φημὶ τοῦ τέτυπται, τρέπον τὸ ἐπὶ τέλους ται εἰς θαι καὶ τὸ π εἰς φ· εἶτα καὶ τὸν τόνον καταβιβάσαν τετύφθαι γίνεται. Τὸ τυφθῆναι χρόνου μέν ἐστιν ἀορίστου πρώτου παθητικοῦ, γίνεται δὲ ὁμοίως ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ὁριστικοῦ παθητικοῦ πρώτου ἀορίστου, λέγω δὴ τοῦ ἐτύφθη, ἐκβολῇ τοῦ ε καὶ προσθήκῃ τῆς ναι, ὥσπερ καὶ τὸ τυπῆναι ὁ παθητικὸς δεύτερος ἀόριστος ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ὁριστικοῦ παθητικοῦ δευτέρου ἀορίστου λέγω δὴ τοῦ ἐτύπη γίνεται, ἐκβολῇ τοῦ τῆς ἀρχῆς ε καὶ προσλήψει τῆς ναι.

166 Ὡσαύτως καὶ ὁ μέσος ἀόριστος πρῶτος ὁ τύψασθαι καὶ ὁ μέσος δεύτερος ὁ τυπέσθαι καὶ ὁ μέλλων πρῶτος ὁ τυφθήσεσθαι καὶ ὁ δεύτερος μέλλων ὁ τυπήσεσθαι καὶ ὁ μέσος μέλλων πρῶτος ὁ τύψεσθαι καὶ ὁ μέσος μέλλων δεύτερος ὁ τυπεῖσθαι καὶ ὁ μετ’ ὀλίγον μέλλων ὁ τετύψεσθαι ἅπαντες οὗτοι ἀπὸ τῶν τρίτων προσώπων τῶν ἰδίων ὁριστικῶν γίνονται, οἱ ἀόριστοι ἀπὸ τῶν ἀορίστων καὶ οἱ μέλλοντες ἀπὸ τῶν μελλόντων, οἱ πρῶτοι ἀπὸ τῶν πρώτων καὶ οἱ δεύτεροι ἀπὸ τῶν δευτέρων. Διὰ τοῦτο γὰρ ἡ ὁριστικὴ ἔγκλισις τῶν ἄλλων προτέτακται, διότι ἐκ ταύτης αἱ ἄλλαι ἐγκλίσεις γίνονται καὶ κανονίζονται. Καὶ περὶ μὲν τῶν ἀπαρεμφάτων τοσαῦτα. Περὶ προστακτικῶν, Διατί μὲν οὖν προστακτικὴ ἡ τοιαύτη ἔγκλισις λέγεται παντὶ γνώριμον· τὸ γὰρ ἐλθέ προστακτικόν, ὅτι προστάττει ἐλθεῖν· διατί δὲ πρῶτα πρόσωπα οὐκ ἐπιδέχονταί ποτε, οὔτε ἐπὶ τῶν ἑνικῶν οὔτε ἐπὶ τῶν δυϊκῶν, οὔτε ἐπὶ τῶν πληθυντικῶν; διότι οὐδεὶς ἑαυτῷ δύναται προστάσσειν, ἀλλὰ ἢ πρὸς τὸν παρόντα καὶ ὁμιλοῦντα αὐτῷ λέγει ἐλθέ, γράφε, καὶ ἔστι τὸ τοιοῦτον πρόσωπον δεύτερον, ἢ περὶ ἑτέρου τινὸς τοῦτό φησιν, οἷον ἐκεῖνος ἐλθέτω, γραψάτω καὶ ἔστι τὸ τοιοῦτον τρίτον πρόσωπον· πρωτοτύπως δὲ ἀδύνατόν ἐστι προστακτικὸν ἐκφέρεσθαι ῥῆμα· ἄλλο δὲ ἐπὶ τῆς προστακτικῆς ἐγκλίσεως ἀπορήσει ἄν τις, καὶ πρόσεχέ μοι τῇ ἀπορίᾳ· ἔστι γὰρ εὐλογωτάτη· ἐπεὶ γὰρ προστάσσων ἐξανάγκης ἀεί ποτε περὶ μέλλοντός τινος προστάσσει· τῷ γὰρ μήπω γράψαντι γράψον φησί, καὶ τῷ μήπω ἐλθόντι λέγει· ἐλθέ, καὶ τῷ μήπω τύπτοντι λέγει τύπτε, καὶ ἁπλῶς τὸ μήπω γεγονὸς λέγει γινέσθω, οὐ τὸ γεγενημένον ἤδη· καὶ ἐπεὶ τοίνυν ἀεὶ περὶ μέλλοντός ἐστί τινος ἡ προσταγὴ δέον εἰδέναι ἡμᾶς περὶ ταύτης· ἐὰν γάρ τις τὸ παρελθὸν καὶ τὸ προγενόμενον ἄρτι προτάσσῃ γίνεσθαι, μάταιος ἂν εἴη· εἰ γὰρ οὕτως ἐνεδέχετο λοιπὸν καὶ τοὺς τῆς προστακτικῆς ἐγκλίσεως κανόνας πάντας μέλλοντας εἶναι καὶ μηδὲ ἐνεστῶτας μηδὲ παρεληλυθότας, πῶς οὖν ἡμῖν ὁ τεχνικὸς καὶ ἐνταῦθα ἐνεστῶτάς τινας καὶ παρατατικοὺς καὶ παρακειμένους καὶ ὑπερσυντελίκους καὶ ἀορίστους παρέδωκε, καίτοι τῆς προσταγῆς περὶ τὸ μέλλον μόνον καταγινομένης ὡς εἴπομεν.

167 Καὶ δή, φαμὲν πρὸς τοῦτο, ὅτι οἱ ἐνταῦθα ἐνεστῶτες καὶ παρεληλυθότες οὐ κυρίως εἰσὶν ἀλλὰ σχήματα μὲν ἐνεστώτων καὶ παρεληλυθότων ἔχουσι, σημασίαι δὲ μελλόντων ὑπάρχουσιν· αὐτίκα ἡ ἐν τῷ τύπτε ἐνεστὼς μὲν καλεῖται, οὐκ ἔστι δὲ κυρίως ἐνεστώς· οὐδὲ γὰρ τότε τύπτει ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προστασσόμενος ὑπ’ ἐμοῦ τύπτειν· ἢ ὅταν ἐγὼ εἴπω τούτῳ τύπτε· εἰ γὰρ ἔτυπτε περισσὸν ἦν τὸ λέγειν ἐμὲ τύπτε· ὅτι δὲ [οὐ] κυρίως ἐνταῦθα οἱ χρόνοι εἰσάγονται, ἀλλὰ καταχρηστικῶς οἱ παρεληλυθότες, παρεληλυθότες λέγονται καὶ ἐνεστῶτες ὡσαύτως οἱ ἐνεστῶτες, δῆλον ἔσται σοι καὶ ἐκ τούτου· τὸ τύψον ἐστὶ μὲν προτακτικόν, χρόνου δὲ ὑπάρχει ἀορίστου καὶ μέλλοντος. Καὶ μὴν ἂν κυρίως ἦν ἐνταῦθα ὁ ἀόριστος ἀόριστος, καὶ ὁ μέλλων κυρίως ὁ μέλλων, πῶς ἐνεδέχετο ἑνοῦσθαι αὐτοὺς καὶ εἰς ἕνα χρόνον συνάπτεσθαι· ὁ μὲν γὰρ ἀόριστος γέγονε καὶ παρελήλυθεν, ὁ δὲ μέλλων οὔπω γέγονεν, ποία οὖν κοινωνία τῷ παρελθόντι πρὸς τὸν μέλλοντα; ὥστε φανερὸν ἐκ τούτου ἐστίν, ὅτι οὐ κυριολεκτοῦνται ἐν τῇ προστακτικῇ ἐγκλίσει οἱ μέλλοντες, ἀλλὰ δοκοῦσι μὲν ἐνεστῶτες καὶ παρεληλυθότες, σημαίνουσι δὲ ὅμως τὸ μέλλον, περὶ οὗ καὶ ἡ προσταγὴ γίνεται.

168 Περὶ προστακτικῶν ἐνεστῶτος καὶ παρατατικοῦ ἐνεργητικοῦ. Τὸ τύπτε ἐστὶ μὲν προστακτικόν, χρόνου δὲ ὑπάρχει ἐνεστῶτος καὶ παρατατικοῦ· γίνεται δὲ ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ, λέγω δὴ τοῦ ἔτυπτε, κατὰ ἀποβολὴν μόνον τοῦ ε· ἐὰν γὰρ ἐκβάλῃς ἀπὸ τοῦ ἔτυπτε τὸ ε τῆς ἀρχῆς τὸ καταλειπόμενον τύπτε γίνεται. Περὶ παρακειμένου καὶ ὑπερσυντελίκου. Τὸ τέτυφε χρόνου μέν ἐστι παρακειμένου καὶ ὑπερσυντελίκου, γίνεται δὲ καὶ τοῦτο ἀπὸ τοῦ ὁριστικοῦ παρακειμένου· τὸ γὰρ τρίτον τούτου πρόσωπον, ὅπέρ ἐστι τὸ τέτυφε δεύτερον γίνεται προστακτικὸν πρόσωπον· ὥσπερ καὶ τοῦ ὁριστικοῦ μέσου παρακειμένου τὸ τρίτον ὅπέρ ἐστι τὸ τέτυπε δεύτερον γίνεται προστακτικόν. Περὶ ἀορίστου α′ καὶ μέλλοντος. Τὸ τύψον χρόνου μέν ἐστιν ἀορίστου α′ καὶ μέλλοντος, γίνεται δὲ ἀπὸ τοῦ πρώτου προσώπου τοῦ ὁριστικοῦ α′ ἀορίστου τοῦ ἔτυψα ἐκβολῇ τοῦ ε καὶ τροπῇ τοῦ α εἰς ον. Ἰδίωμα δὲ τοῦτο Συρακουσίων ἦν· οὗτοι γὰρ ἅπαντα τὰ προστακτικὰ διὰ τοῦ ον ἐξεφώνουν γράψον καὶ λάβον.

169 Περὶ ἀορίστου δευτέρου. Τὸ τύπε χρόνου μέν ἐστιν ἀορίστου β′ καὶ μέλλοντος, γίνεται δὲ ἀπὸ τοῦ γ′ προσώπου τοῦ ὁριστικοῦ β′ ἀορίστου λέγω δὴ τοῦ ἔτυπε, κατὰ ἀποβολὴν μόνου τοῦ ε. Ἀλλ’ οὕτω μὲν τὰ ἐνεργητικὰ προστακτικά· τὰ δὲ παθητικὰ καὶ αὐτὰ ἀπὸ τῶν ὁριστικῶν παθητικῶν γίνονται. Περὶ προστακτικῶν παθητικῶν, περὶ ἐνεστῶτος καὶ παρατατικοῦ. Τὸ τύπτου χρόνου μέν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ, γίνεται δὲ ἀπὸ τοῦ β′ προσώπου τοῦ παθητικοῦ ὁριστικοῦ παρατατικοῦ, λέγω δὴ τοῦ ἐτύπτου· ἐὰν γὰρ ἀποβάλῃς ἀπὸ τοῦ ἐτύπτου τὸ ε, τύπτου ἐστὶν τὸ καταλειφθέν. Περὶ παρακειμένου καὶ ὑπερσυντελίκου. Τὸ τέτυψο χρόνου μὲν παρακειμένου καὶ ὑπερσυντελίκου ἐστίν· γίνεται δὲ ὁμοίως καὶ τοῦτο ἀπὸ τοῦ β′ προσώπου τοῦ παθητικοῦ ὁριστικοῦ ὑπερσυντελίκου, φημὶ δὴ τοῦ ἐτέτυψο, κατὰ ἀποβολὴν τοῦ ε. Περὶ ἀορίστου α′ καὶ μέλλοντος. Τὸ τύφθητι χρόνου μέν ἐστιν ἀορίστου α′ καὶ μέλλοντος. Κανονίζει δὲ αὐτὸ ὁ τεχνικὸς φορτικῶς· ἀπὸ γὰρ τῆς μετοχῆς τοῦ ὁριστικοῦ παθητικοῦ α′ ἀορίστου, ἥτις ἐστὶν ὁ τυφθεὶς καὶ κλίνεται τοῦ τυφθέντος τοῦτο παράγει, τρέπον τὸ ε εἰς η καὶ τὸ ος εἰς ι καὶ τὸν τόνον ἀναβιβάζων.

170 Καὶ οὕτως ἀπὸ τοῦ τυφθέντος ποιεῖ τὸ τύφθητι. Ὡσαύτως δὲ καὶ τὸ τύπηθ ι , ὅπερ ἐστὶν ἀορίστου β′ καὶ μέλλοντος ἀπὸ τῆς τυπέντος μετοχῆς παράγει· ἐμοὶ δὲ κάλλιον φαίνεται τὸ τύφθητι ἀπὸ τοῦ ἐτύφθη παράγειν ἐκβολῇ τοῦ ε καὶ προσθέσει τοῦ τι· τὸ δὲ τύπηθι ὁμοίως ἀπὸ τοῦ ἐτύπη· ἄτοπον γάρ μοι δοκεῖ τὰ μὲν ἄλλα πάντα προστακτικὰ ἀπὸ τῶν ὁριστικῶν κανονίζεσθαι, μόνα δὲ τὸ τύφθητι καὶ τὸ τύπηθι ἀπὸ τῶν μετοχῶν καὶ μὴ ἀπὸ τῶν ὁριστικῶν παράγεσθαι. Τὸ τύψαι χρόνου μέν ἐστι μέσου ἀορίστου α′ καὶ μέσου μέλλοντος α′, γίνεται δὲ ἀπὸ τοῦ ἐνεργητικοῦ α′ προσώπου τοῦ α′ ἀορίστου τοῦ ἔτυψα ἐκβολῇ τοῦ ε καὶ προσθέσει τοῦ ι. Τὸ τυπο ῦ , χρόνου μέν ἐστι μέσου ἀορίστου β′ καὶ μέλλοντος, παράγεται δὲ ἀπὸ τοῦ β′ προσώπου τοῦ ὁριστικοῦ μέσου ἀορίστου β′, λέγω δὴ τοῦ ἐτύπου· ἐκβαλόντες γὰρ τὸ ε καὶ τὴν ου δίφθογγον περισπῶντες ἀπὸ τοῦ ἐτύπου τυποῦ πεποιήκαμεν. Περὶ εὐκτικῶν. Τοσαῦτά σοι περὶ τῶν προστακτικῶν· καιρὸς δ’ ἂν εἴη καὶ περὶ τῶν εὐκτικῶν εἰπεῖν. Διατί μὲν γὰρ καὶ αὕτη

ἡ ἔγκλισις εὐκτικὴ ὀνομάζεται, πᾶσι δῆλόν ἐστι καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος· εὐχῆς γὰρ σημαντική ἐστιν. Ἡ δὲ προαπορηθεῖσα ἐπὶ τῶν προστακτικῶν ἀπορία εὐλόγως ἂν ἀπορηθείη καὶ ἐπὶ τῶν εὐκτικῶν. Ἐπεὶ γὰρ ὁ εὐχόμενος περὶ μέλλοντός τινος ἀεί ποτε εὔχεται· ποῖος γάρ ἐστιν ὁ ἐπὶ τοσοῦτον ἀνόητος ὡς περὶ τοῦ παρεληλυθότος εὔξασθαι; οἷον ἐάν τις ἀπὸ κρημνοῦ πεσὼν καὶ τὴν κεφαλὴν κατεαγὼς μετὰ ταῦτα εὔχεται (sic) μὴ πεσεῖν καὶ κατεαγέναι.

171 Ἐπεὶ γοῦν οὕτως ἔχει καὶ ἀεὶ ὁ εὐχόμενος περὶ τῶν μελλόντων εὔχεται, ἔδει καὶ τὸν τεχνικὸν μέλλοντας ποιῆσαι τοὺς ἅπαντας χρόνους ἐν τοῖς εὐκτικοῖς καὶ μὴ παραλαβεῖν ἐνεστῶτα καὶ μὴ παρῳχημένον τινά. Καὶ λέγομεν τὴν αὐτὴν καὶ ἐνταῦθα ἐπίλυσιν· οἱ γὰρ ἐν τοῖς εὐκτικοῖς ἐνεστῶτες καὶ παρεληλυθότες σχῆμα μὲν ἐνεστώτων καὶ παρεληλυθότων ἔχουσι, σημασίαν δὲ μελλόντων εἰσάγουσι, σημαίνουσι δὲ τὸ μέλλον. Τὰ ἐνεργητικὰ ἅπαντα εὐκτικὰ οὐ κανονίζονται ἀπὸ τῶν ὁριστικῶν ὥσπερ καὶ αἱ ἄλλαι ἐγκλίσεις· ἀλλ' ἀπὸ τῶν ἰδίων μετοχῶν· τὸ γὰρ τύπτοιμι ὁ εὐκτικὸς ἐνεστὼς οὐκ ἀπὸ τοῦ ὁριστικοῦ ἐνεστῶτος τοῦ τύπτω κανονίζεται, ἀλλ' ἀπὸ τῆς γενικῆς τοῦ μετοχικοῦ ἐνεστῶτος, φημὶ δὴ τοῦ τύπτοντος· καὶ οἱ ἄλλοι χρόνοι ὡσαύτως ἀπὸ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν παράγονται· καὶ ἀποροῦμεν ἐνταῦθα· διατί τοῦτο γίνεται καὶ διατί ἀπὸ τῶν μετοχῶν ὑστέρων οὐσῶν τὰ εὐκτικὰ πρῶτα ὄντα κανονίζονται, μᾶλλον δέ, διατί ἡ μετοχὴ ἄλλου μέρους λόγου ὑπάρχουσα παράγει τὸ ῥῆμα, ἄλλο μέρος λόγου ὑπάρχον; Καὶ φαμὲν πρὸς τοῦτο ἀληθεστάτην λύσιν ἐπάγοντες· ὅτι ἐπειδὴ ἀναγκαῖόν ἐστιν ἐν τοῖς εὐκτικοῖς διὰ διφθόγγου τὴν παραλήγουσαν ἐκφέρεσθαι καὶ μᾶλλον διὰ τῆς ΟΙ διφθόγγου, ἀδύνατον ἔδοξε τῷ τεχνικῷ ἀπὸ τῶν ὁριστικῶν τὰ εὐκτικὰ ἐνεργητικὰ κανονίζειν· διότι ἐν μὲν τοῖς εὐκτικοῖς χρεία ἐστὶν ὡς εἶπον τῆς ΟΙ διφθόγγου τῆς ἀπὸ τοῦ ο μικροῦ καὶ ι συγκειμένης, ἐν δὲ τοῖς ὁριστικοῖς οὐδαμοῦ εὕρηται τὸ ο μικρόν, ἵνα προσθήσῃ τούτῳ καὶ τὸ ι καὶ οὕτω διὰ τῆς προσηκούσης καταλήξεως ποιήσῃ τὸ εὐκτικόν, καὶ διὰ τοῦτο ἠναγκάσθη εἰς τὰς γενικὰς τῶν μετοχῶν ἀπελθεῖν ὡς ἐχούσας ἐν τῇ παραληγούσῃ καὶ τούτῳ συζευγνὺς τὸ ι καὶ τὴν οι δίφθογγον ἀναπληρῶν εἶτα καὶ τὴν λήγουσαν τῆς γενικῆς τῶν μετοχῶν εἰς μι τρέπων τοὺς εὐκτικοὺς ἅπαντας ἀναπληροῖ χρόνους.

172 Ὅτι δὲ οὕτως ἔχει καὶ ὅτι διὰ ταύτην τὴν αἰτίαν ἀναγκαζόμενος διὰ τὸ μὴ ἔχειν δηλαδὴ ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς τὸ ο μικρὸν διὰ τοῦτο ἐπὶ τὰς μετοχὰς καταπέφευγε καὶ ἀπὸ τούτων κανονίζει τὰ εὐκτικὰ ἐνεργητικά, δῆλόν ἐστιν ἀπὸ τῶν εὐκτικῶν παθητικῶν· ἐκεῖνα γὰρ οὐκ ἀπὸ τῶν μετοχῶν κανονίζει, ἀλλὰ ἀπὸ τῶν ὁριστικῶν παθητικῶν, διότι εὑρίσκει ἐν ἐκείνοις τὸ ο μικρόν· τὸ γὰρ τύπτομαι καὶ τυφθήσομαι καὶ τύψομαι καὶ τὰ τοιαῦτα φανερόν ἐστιν, ὅτι τῷ ο παραλήγονται. Ἐὰν οὖν οὕτως εἶχε καὶ ἐπὶ τῶν ἐνεργητικῶν καὶ εὕρισκεν ἐν ἐκείνοις τὸ ο μικρόν, πάντως ἂν ἀπ' ἐκείνων τὰ εὐκτικὰ ἐνεργητικὰ ἐκανόνισεν· ἐπεὶ δὲ οὐκ ἔστιν ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς τὸ ο μικρόν· τὸ γὰρ τύπτω καὶ τύψω καὶ τέτυφα καὶ ἐτετύφειν καὶ τὰ τοιαῦτα ο μικρὸν οὐκ ἔχουσι πλὴν μόνον τοῦ ἔτυπτον καὶ τοῦ ἔτυπον· διὰ τοῦτο κατ' ἀνάγκην ἐκ τῶν μετοχῶν αὐτὰ κανονίζει. Τὸ τύπτοιμι χρόνου μέν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ, γίνεται δὲ ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἐνεστῶτος, ἥτίς ἐστι τύπτοντος, τρεπομένου γὰρ τοῦ τος εἰς μι καὶ ἐκβαλλομένου τοῦ ν, προστιθεμένου δὲ τοῦ ι τῷ ο, τὸ τύπτοντος τύπτοιμι γίνεται. Τὸ τετύφοιμι χρόνου μέν ἐστι παρακειμένου καὶ ὑπερσυντελίκου, γίνεται δὲ ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ παρακειμένου, ἥτις ἦν τετυφότος· τρεπομένου γὰρ τοῦ τος εἰς μι καὶ προστιθεμένου τῇ παραληγούσῃ τοῦ ι, τὸ τετυφότος τετύφοιμι γίνεται, ὥσπερ καὶ τὸ τετυπότος τετύποιμ ι , ὅστίς ἐστιν ὁ μέσος παρακείμενος καὶ ὑπερσυντέλικος.

173 Τὸ τύψαιμι χρόνου μέν ἐστιν ἀορίστου α′, διὸ καὶ ἔχει τὴν αι δίφθογγον ὡς πανταχοῦ τοῦ ἀορίστου α′ ἀγαπῶντος τὸ α· γίνεται δὲ καὶ τοῦτο ὡσαύτως ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ α′ ἀορίστου, ἥτις ἦν τύψαντος· ἐκβαλλομένου γὰρ κἀνταῦθα τοῦ ν καὶ προστιθεμένου τῇ παραληγούσῃ τοῦ ι, τρεπομένου δὲ καὶ τοῦ τος εἰς μι τὸ τύψαντος τύψαιμι γίνεται. Τὸ τύποιμι

χρόνου μέν ἐστιν ἀορίστου β', γίνεται δὲ καὶ τοῦτο ὡσαύτως ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ β' ἀορίστου, ἥτίς ἐστι τύποντος. Ὡσαύτως δὲ καὶ τὸ τύψοιμι χρόνου μέν ἐστι μέλλοντος α', γίνεται δὲ ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ α' μέλλοντος, ἥτίς ἐστι τύψοντος. Ὁμοίως καὶ τὸ τυποῖμι ὅπέρ ἐστι β' μέλλοντος ἀπὸ τῆς τυποῦντος γίνεται μετοχῆς. Τὰ μὲν οὖν εὐκτικὰ ἐνεργητικὰ τοιαῦτα· καὶ οὕτως ἀπὸ τῆς γενικῆς τῶν μετοχῶν κανονίζονται διὰ τὸ εὑρίσκεσθαι ἐν ταύταις, ὡς εἶπον, τὸ ο· τὰ δὲ εὐκτικὰ παθητικὰ ἄθρει μοι πόθεν γεννῶνται· οὐ γὰρ ἐκ τῶν μετοχῶν, ἀλλ' ἐκ τῶν ὁριστικῶν παθητικῶν κανονίζονται διὰ τὸ εὑρίσκεσθαι ἐν τούτοις, ὡς εἶπον, τὸ ο. Τὸ τυπτοίμην χρόνου μέν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ παθητικοῦ· γίνεται δὲ ἀπὸ τοῦ ὁριστικοῦ παθητικοῦ ἐνεστῶτος τοῦ τύπτομαι· τὸ γὰρ τύπτομαι τρέπον τὴν μαι εἰς μην καὶ προσλαμβάνον ἐν τῇ παραληγούσῃ τὸ ι, καταβιβαζομένου τοῦ τόνου τυπτοίμην γίνεται. Παρακείμενος καὶ ὑπερσυντέλικος εὐκτικὸς ἐνταῦθα οὐκ ἔστι καὶ διατί ἐγώ σοι ἐρῶ· ἀεὶ τὰ εὐκτικὰ ὡς μεμάθηκας ὀφείλουσι δίφθογγον ἔχειν ἐν τῇ παραληγούσῃ· γίνονται δὲ τὰ παθητικὰ εὐκτικὰ ἀπὸ τῶν ὁριστικῶν παθητικῶν τροπῇ τῆς μαι εἰς μην· ἐὰν οὖν ὤφειλε γίνεσθαι καὶ παθητικὸς παρακείμενος εὐκτικός, πάντως ἀπὸ τοῦ ὁριστικοῦ παθητικοῦ παρακειμένου ἔμελλε γενέσθαι· καὶ ἐπεὶ ὁ παθητικὸς παρακείμενος τέτυμμαί ἐστι, πάντως ἂν ἔμελλε τρέπειν τὴν μαι εἰς μην, ἵνα ποιήσῃ τὸ εὐκτικὸν ἀπὸ τοῦ τέτυμμαι τετύμμην· ὤφειλε δὲ καὶ τὴν παραλήγουσαν ἔχειν δίφθογγον, καὶ ἦν ἂν τετυοίμμην τὸ οι δίφθογγον, ὅπέρ ἐστιν ἀτοπώτατον· τὸ γὰρ τετύμμην ἀπὸ τοῦ τύπτω ἔχει τὸ τυ καὶ ἐὰν τετύμμην γραφήσεται δίφθογγον, γράφεται πάντως καὶ τύπτω τὸ τυ διὰ διφθόγγου τῆς διὰ τοῦ ο καὶ ι συγκειμένης.

174 Ἐπεὶ δὲ τοῦτο ἀδύνατόν ἐστιν, ἀπολείπει λοιπὸν ἐν τοῖς εὐκτικοῖς παθητικοῖς παρακειμένοις. Πῶς οὖν παραμυθησόμεθα τὴν ἔνδειαν τοῦ παρακειμένου καὶ πῶς ἐροῦμεν τὸ εὐκτικὸν ὅταν παρακείμενος χρόνος πρόκειται· [ἢ] πάντως καθάπερ ἐφ' ἑτέρων πολλῶν ῥημάτων ποτὲ μὲν ἀρκεῖ τὸ ῥῆμα ἐκεῖνο μόνον εἰπεῖν καὶ ἀποπληρῶσαι δι' ἐκείνου τοῦ λόγου τὸν νοῦν, οἷον λέγω, τρέχω· ἰδοὺ ἤρκησε τὸ λέγω μόνον εἰς τὸ δηλῶσαι ὅτι λέγω, καὶ τὸ τρέχω μόνον εἰς τὸ δηλῶσαι ὅτι τρέχω· πολλάκις δὲ αὐτὸ τὸ ῥῆμα οὐ λέγω, λαμβάνω δὲ τὴν μετοχὴν τοῦ ῥήματος καὶ ἄλλο ῥῆμα σημαῖνον ὕπαρξιν, καὶ οὕτως ὅπερ ὤφειλεν εἰπεῖν διὰ μιᾶς λέξεως λέγω τοῦτο διὰ δύο, οἷον ἀντὶ τοῦ εἰπεῖν τρέχω λέγω ὅτι τρέχων ὑπάρχω καὶ ἀντὶ τοῦ εἰπεῖν γράφω λέγω ὅτι γράφων εἰμί· ἀπὸ τοιούτου νῦν τρόπου παραμυθησόμεθα ἂν καὶ τὸν παθητικὸν παρακείμενον ἐν τοῖς εὐκτικοῖς.

175 Καὶ ἐπεὶ οὐ δύναται διὰ μιᾶς ἐκφέρεσθαι λέξεως ἐξ ἀνάγκης διὰ δύο τοῦτον προενέγκωμεν λέξεων διά τε τῆς παθητικῆς μετοχῆς, ἥτίς ἐστιν ὁ τετυμμένος καὶ διὰ τοῦ εὐκτικοῦ ὑπαρκτικοῦ ῥήματος, ὅπέρ ἐστι τὸ εἴην καὶ τετυμμένος εἴην ἐροῦμεν, διὰ μὲν τοῦ εἴην δεικνῦντες τὴν ἔγκλισιν ὅτι εὐκτική, διὰ δὲ τοῦ τετυμμένος τὸν χρόνον ὅτι παθητικὸς παρακείμενος, Τὸ τυφθείην χρόνου μέν ἐστιν ἀορίστου α' παθητικοῦ, γίνεται δὲ ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ παθητικοῦ α' ἀορίστου, ἥτίς ἐστι τυφθέντος· τροπῇ γὰρ τοῦ τος εἰς ην καὶ ἐκβολῇ τοῦ ν, προστιθεμένου τῇ παραληγούσῃ τοῦ ι τὸ τυφθέντος τυφθείην γίνεται, ὥσπερ καὶ ἀπὸ τῆς τυπέντος μετοχῆς τὸ τυπείην εὐκτικὸς παθητικὸς β' ἀόριστος γίνεται. Τὸ τυψαίμην χρόνου μέν ἐστι μέσου ἀορίστου α', γίνεται δὲ ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ α' μέσου ἀορίστου τοῦ ἐτυψάμην ἀποβολῇ τοῦ κατ' ἀρχὴν ε καὶ προσθήκῃ τοῦ ι κατὰ τὴν παραλήγουσαν· ὥσπερ καὶ τὸ τυποίμην ὁ μέσος β' ἀόριστος ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ τοῦ ἐτυπόμην παράγεται. Τὸ τυφθησοίμην ὁ παθητικὸς α' μέλλων καὶ τὸ τυπησοίμην ἀπὸ τοῦ τυπήσομαι τοῦ μαι εἰς μην τρεπομένου καὶ προστιθεμένου τῇ παραληγούσῃ τοῦ ι. Τὸ τυψοίμην ὁ μέσος μέλλων α' καὶ τὸ τυποίμην ὁ β' μέσος μέλλων καὶ οὗτοι ἀπὸ τῶν ἰδίων ὁριστικῶν κανονίζονται, τὸ μὲν τυψοίμην ἀπὸ τοῦ τύψομαι, τὸ δὲ τυποίμην ἀπὸ τοῦ τυποῦμαι. Ὁμοίως καὶ τὸ τετυψοίμην ὁ εὐκτικὸς μετ' ὀλίγον μέλλων ἀπὸ τοῦ τετύψομαι τοῦ ὁριστικοῦ μετ' ὀλίγον μέλλοντος γίνεται

ἐν πᾶσι τούτοις τοῦ μαι εἰς μην τρεπομένου. Καὶ περὶ μὲν τῶν εὐκτικῶν ἀρκεῖ τοσαῦτα. Περὶ δὲ τῶν ὑποτακτικῶν ἤδη ῥητέον.

176 Ἡ ὑποτακτικὴ ἔγκλισις διὰ ποίαν αἰτίαν ὑποτακτικὴ ὀνομάζεται εἴρηται πρότερον, ὅτι διὰ τὸ προτετάχθαι τὸν ἐάν σύνδεσμον ἢ τὸν ἵνα ἢ τὸν ὄφρα ἢ τὸν ὅπω ς , ὑποτετάχθαι δὲ ἤγουν ὑποκάτω κεῖσθαι τὸ τύπτω ῥῆμα ἢ ἄλλο τι τῶν ῥημάτων. Τὸ ἐὰν τύπτω χρόνου μέν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ, γίνεται δὲ ἐκ τοῦ ἔτυπτον παρατατικοῦ ὁριστικοῦ ἐνεργητικοῦ· τοῦ γὰρ ἔτυπτον ἐὰν ἐξέλῃς τὸ ε καὶ τὸ τῆς ληγούσης ον εἰς ω μέγα τρέψῃς τύπτω γίνεται, εἶτα προστεθέντος τοῦ ἐάν αἰτιολογικοῦ συνδέσμου ἐὰν τύπτω γίνεται· γίνωσκε ὅτι τὰ ὁριστικὰ καὶ τὰ ὑποτακτικὰ κατὰ τὴν μὲν ἐκφώνησιν σχεδὸν ἰσάζουσι, διαφέρουσι δὲ ἐν τούτῳ, ὅτι τὰ μὲν ὁριστικὰ βραχυτέρους ἐπιδέχονται χρόνους· τὸ γὰρ τύπτεις ὁριστικὸν καὶ τὸ τύπτει διὰ διφθόγγου γραφόμενον βραχύτερά εἰσι παρὰ τὸ ἐὰν τύπτῃς καὶ ἐὰν τύπτῃ ὑποτακτικά, ἅτινα διὰ τοῦ η γράφονται, ὑπὸ τοῦ ἐάν αἰτιολογικοῦ συνδέσμου ὑποτασσόμενα· ὁμοίως καὶ ἐπὶ τῶν παθητικῶν τὸ μὲν τύπτομαι καὶ τὸ τύπτεται βραχυχρονοῦνται διὰ τοῦ ο μικροῦ καὶ ε ψιλοῦ ἐν τῇ παραληγούσῃ γραφόμενα, τὸ δὲ ἐὰν τύπτωμαι καὶ ἐὰν τύπτηται μακροχρονοῦνται διὰ τοῦ ω μεγάλου καὶ η ἐν τῇ παραληγούσῃ γραφόμενα. Τὸ ἐὰν τετύφω χρόνου μέν ἐστι παρακειμένου καὶ ὑπερσυντελίκου, κανονίζεται δὲ ἀπὸ τοῦ ὁριστικοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ τέτυφα· τὸ γὰρ τέτυφα τραπέντος τοῦ α εἰς ω καὶ καταβιβασθέντος τοῦ τόνου τετύφω γίνεται· ὥσπερ καὶ τὸ τέτυπα ὁ μέσος ὁριστικὸς παρακείμενος καὶ οὗτος μετὰ τοῦ ἐάν αἰτιολογικοῦ συνδέσμου ὁμοίως ἐὰν τετύπω γίνεται. Τὸ ἐὰν τύψω χρόνου μέν ἐστιν ἀορίστου α′ καὶ μέλλοντος, γίνεται δὲ ἀπὸ τοῦ ὁριστικοῦ α′ τοῦ ἔτυψα· τὸ γὰρ ἔτυψα ἐὰν ἀποβάλῃς τὸ ε καὶ τρέψῃς τὸ α εἰς ω μέγα τύψω γίνεται. Τὸ ἐὰν τύπω χρόνου μέν ἐστιν ἀορίστου β′ καὶ μέλλοντος· κανονίζεται ἀπὸ τοῦ ὁριστικοῦ β′ ἀορίστου τοῦ ἔτυπον· τὸ γὰρ ἔτυπον ἀποβαλλομένου τοῦ ε καὶ τρεπομένου τοῦ ον εἰς ω μέγα τύπω γίνεται.

177 Καὶ τὰ μὲν ὑποτακτικὰ ἐνεργητικὰ οὕτω γίνονται· ῥητέον δὲ ἤδη περὶ τῶν παθητικῶν. Τὸ ἐὰν τύπτωμαι χρόνου μέν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ παθητικοῦ ὑποτακτικοῦ, κανονίζεται δὲ ἀπὸ τοῦ ὑποτακτικοῦ ἐνεργητικοῦ ἐνεστῶτος· τὸ γὰρ ἐὰν τύπτω ἐὰν προσλάβῃ τὴν μαι ἐὰν τύπτωμαι γίνεται. Ὁ παθητικὸς παρακείμενος καὶ ὑπερσυντέλικος ἀπολείπει ἐν τοῖς εὐκτικοῖς παθητικοῖς καὶ ἐν τοῖς ὑποτακτικοῖς. Ἀναπληροῦνται καθὼς ἐκεῖ διὰ τῆς τετυμμένος μετοχῆς καὶ τοῦ εἴην εὐκτικοῦ ῥήματος οὕτω καὶ ἐνταῦθα διὰ τῆς τετυμμένος μετοχῆς καὶ τοῦ ἐὰν ὦ ῥήματος ὑποτακτικοῦ. Τὸ ἐὰν τυφθῶ χρόνου μέν ἐστιν ἀορίστου α′ καὶ μέλλοντος α′ παθητικοῦ, κανονίζεται δὲ ἀπὸ τοῦ α′ παθητικοῦ ἀορίστου τοῦ ἐτύφθην· ἐὰν γὰρ ἐκβάλῃς τὸ ε καὶ τρέψῃς τὸ ην εἰς ω μέγα, καταβιβάσῃς δὲ καὶ τὸν τόνον τυφθῶ γίνεται. Ὁμοίως ἀπὸ τοῦ ἐτύπην γίνεται τὸ ἐὰν τυπ ῶ , ὅπέρ ἐστιν ὑποτακτικοῦ β′ ἀορίστου καὶ μέλλοντος. Τὸ ἐὰν τύψωμαι χρόνου μέν ἐστιν α′ ἀορίστου μέσου καὶ μέλλοντος, κανονίζεται δὲ ἀπὸ τοῦ ἐνεργητικοῦ ἀορίστου α′ τοῦ ἐὰν τύψω· προσλαβὼν γὰρ τὴν μαι ἐὰν τύψωμαι γίνεται, καθάπερ καὶ ὁ μέσος β′ ἀόριστος καὶ μέλλων τὸ ἐὰν τύπωμαι γίνεται· προσόδῳ γὰρ μόνης τῆς μαι συλλαβῆς γίνεται ἀπὸ τοῦ ἐὰν τύπω ἐὰν τύπωμαι. Καὶ περὶ μὲν οὖν τῶν ὑποτακτικῶν εἰρήσθω μέχρι τούτου, μᾶλλον δὲ ἐπὶ πασῶν τῶν πέντε ἐγκλίσεων. Εἴρηται γὰρ σοὶ καὶ προδέδεικται περὶ τούτων, ὅτι ἡ ὁριστικὴ μόνη ἐξ αὐτῆς κανονίζεται, αἱ δὲ ἄλλαι τέσσαρες, ἡ ἀπαρέμφατος, ἡ προστακτική, ἡ εὐκτικὴ καὶ ὑποτακτικὴ ἀπὸ τῆς ὁριστικῆς γίνεται, ἐκτὸς τῶν ἐνεργητικῶν εὐκτικῶν.

178 Ταῦτα γὰρ μόνα ἀπὸ τῶν μετοχῶν κανονίζονται. Ἐπειδὴ μετὰ τὰς ἐγκλίσεις ταύτας καὶ μετοχῶν ἐμνήσθη ὁ τεχνικός, ῥητέον ἡμῖν περὶ αὐτῶν. Μετοχή ἐστι μέρος λόγου οἱονεὶ μεταίχμιόν τι τοῦ ὀνόματος καὶ τοῦ ῥήματος· μετέχει γὰρ καὶ ἀμφοτέρων, διὸ καὶ μετοχὴ ὀνομάζεται, καθόσον γὰρ ἐπιδέχεται ἡ μετοχὴ γένη καὶ ἔχει τὸ ἀρσενικὸν καὶ θηλυκὸν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδέτερον, ἔτι δὲ καὶ τὰς πέντε πτώσεις κατὰ τοῦτο μετέχει τοῦ ὀνόματος, καθόσον δὲ χρόνους ἔχει καὶ συζυγίας κατὰ τοῦτο μετέχει τοῦ ῥήματος καὶ διὰ τοῦτο λέγεται μετοχή. Σκεπτέον οὖν ἡμῖν ἐντεῦθεν, πῶς αἱ μετοχαὶ γίνονται καὶ πόθεν παράγονται· πάντως δὲ καὶ αὗται ἀπὸ τῶν ὁριστικῶν κανονίζονται ῥημάτων. Μετοχικὰ ἐνεργητικά. Ἐνεστώς. Ὁ τύπτων ἀπὸ τοῦ ἐνεργητικοῦ ὁριστικοῦ ἐνεστῶτος τοῦ τύπτω γίνεται, προσθέσει τοῦ ν· τὸ γὰρ τύπτω προσλαβὸν τὸ ν τύπτων γίνεται καὶ ἔστι τοῦτο ἀρσενικὸν μετοχικὸν τοῦ ἐνεστῶτος, κλίνεται δὲ τύπτοντος, τρέπων τὸ ἐπὶ τῆς εὐθείας μέγα ω εἰς ο μικρὸν ἐπὶ γενικῆς, διότι πάντα τὰ διὰ τοῦ ντ κλινόμενα τὴν ἐπὶ τῆς ἰδίας εὐθείας φύσει μακρὰν ἐν τῇ γενικῇ εἰς θέσιν μεταποιοῦσι, καὶ ἔστιν ἡ κλίσις τῆς τοιαύτης μετοχῆς περιττοσύλλαβος, ὥσπερ τὸ δράκων δράκοντος. Ἡ θηλυκὴ τοῦ ἐνεστῶτος μετοχή, ἔστι μὲν ἡ τύπτουσα, γίνεται δὲ ἀπὸ τῆς γενικῆς μετοχῆς, λέγω τῆς τύπτοντος· τὸ γὰρ τύπτοντος ἐὰν τρέψῃς τὸ τος εἰς σα προσλάβῃς δὲ ἐν τῇ παραληγούσῃ τὸ υ καὶ ὑπεξέλῃς τὸ ν τύπτουσα γίνεται, κλίνεται δὲ τῆς τυπτούσης, ὡς μοῦσα μούσης.

179 Ἡ δὲ οὐδετέρα μετοχὴ, ἔστι μὲν τὸ τύπτο ν , γίνεται δὲ καὶ αὐτὸ ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ τοῦ τύπτοντος, κατὰ ἀποβολὴν τοῦ τος· κοινῷ δὲ λόγῳ πᾶσα ἀρσενικὴ μετοχὴ ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ χρόνου γίνεται, πᾶσα δὲ θηλυκὴ καὶ οὐδετέρα ἀπὸ τῆς ἀρσενικῆς μετοχῆς κανονίζεται καὶ εἰσὶν οἱ μὲν ὁριστικοὶ χρόνοι ἀρχαὶ τῶν μετοχῶν ἀρσενικῶν, αἱ δὲ ἀρσενικαὶ μετοχαὶ ἀρχαὶ τῶν θηλυκῶν καὶ οὐδετέρων. Ὁ δὲ τετυφώς μετοχή, ἔστι μὲν διαθέσεως ἐνεργητικῆς χρόνου παρακειμένου καὶ ὑπερσυντελίκου, γίνεται δὲ ἀπὸ τοῦ ὁριστικοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ τέτυφα τροπῇ τοῦ α εἰς ως καὶ καταβιβαζομένου τοῦ τόνου· κλίνεται δὲ τοῦ τετυφότος, ὡς ἱδρῶτος· καὶ τὸ μὲν ἱδρὼς φυλάττει τὸ ω μέγα καὶ ἐπὶ γενικῆς, τὸ δὲ τετυφώς οὐ φυλάσσει, διότι ἐκεῖνος ὄνομά ἐστι, τοῦτο δὲ μετοχή· αἱ γὰρ μετοχαὶ συνεσταλμένας ἔχουσι τὰς παραληγούσας, εἰ μήπω ἀπὸ συναιρέσεως γίνονται, ἡ δὲ θηλυκὴ τοῦ παρακειμένου μετοχὴ ἡ τετυφυῖ α , ἥτις γίνεται ἀπὸ τῆς τετυφότος γενικῆς τοῦ ἀρσενικοῦ τροπῇ τοῦ τος εἰς α καὶ τοῦ ἐν τῇ παραληγούσῃ ο εἰς τὴν ἀπὸ τοῦ υ ψιλοῦ καὶ τοῦ ι συγκειμένην δίφθογγον καὶ κλίνεται τετυφυίας ὡς μυῖα μυίας· ἡ δὲ οὐδέτερος τοῦ παρακειμένου μετοχὴ τὸ τετυφὸς γίνεται καὶ τοῦτο ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, τοῦ τετυφότος ἀποβολῇ τοῦ τος καὶ προσθέσει τοῦ ς. Ὁμοίως καὶ ὁ τετυπὼς μετοχὴ τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελίκου γίνεται ἀπὸ τοῦ μέσου παρακειμένου τοῦ τέτυπα τροπῇ τοῦ α εἰς ως, τὸ θηλυκὸν ἡ τετυπυῖ α , τὸ οὐδετέρον τὸ τετυπό ς . Ὁ τύψας μετοχὴ χρόνου ἀορίστου α′ γίνεται ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ τοῦ ἔτυψα ἐκβολῇ τοῦ ε καὶ προσθέσει τοῦ ς, ἔτυψα τύψας, καὶ κλίνεται τύψαντος ὡς Αἴαντος, τὸ θηλυκὸν ἡ τύψασ α , τὸ οὐδέτερον τὸ τύψαν καὶ κλίνεται τοῦ τύψαντος.

180 Ὁ τυπών ὀξύτονος μετοχὴ χρόνου ἀορίστου β′, γίνεται δὲ καὶ αὐτὸ ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ τοῦ ἔτυπον, ἐκβολῇ τοῦ ε καὶ τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, ἔτυπον, τυπών, καὶ κλίνεται τυπόντος, τὸ θηλυκὸν ἡ τυποῦσα τὸ οὐδέτερον τὸ τυπό ν . Ὁ τύψων μετοχὴ χρόνου μέλλοντος α′, γίνεται δὲ ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ α′ μέλλοντος, λέγω δὴ τοῦ τύψω προσθήκῃ μόνῃ τοῦ ν, τύψω τύψων, καὶ κλίνεται τύψοντος, τὸ θηλυκὸν ἡ τύψουσα, τὸ οὐδέτερον τὸ τύψο ν . Ὁ τυπῶν περισπωμένως μετοχὴ χρόνου β′ μέλλοντος τοῦ τυπῶ προσθήκῃ τοῦ ν τυπῶ τυπῶν, κλίνεται δὲ τυποῦντος, τὸ θηλυκὸν ἡ τυποῦσ α , τὸ οὐδέτερον τὸ τυποῦ ν , καὶ ἁπλῶς ἅπας μετοχικὸς χρόνος τοῦ ἰδίου ὁριστικοῦ χρόνου γίνεται, ὁ ἐνεστὼς ἀπὸ τοῦ ἐνεστῶτος, ὁ ἀόριστος ἀπὸ τοῦ ἀορίστου καὶ ὁ μέλλων ἀπὸ τοῦ μέλλοντος καὶ οἱ λοιποὶ ὡσαύτως. Ὁμοίως καὶ αἱ παθητικαὶ μετοχαὶ ἀπὸ τῶν παθητικῶν ὁριστικῶν κανονίζονται· ὅσα γὰρ ἀπὸ τῶν ὁριστικῶν παθητικῶν ἐπὶ τέλους ἔχουσι τὴν μαι τρέπουσιν αὐτὴν εἰς μενος καὶ ποιεῖ τὴν μετοχὴν, τύπτομαι τυπτόμενος, τετύμμαι τετυμμένος· πάλιν δὲ τῆς ἀρσενικῆς μετοχῆς τὸ ος τρέπουσιν εἰς η καὶ ποιεῖ τὸ θηλυκόν, τυπτόμενος τυπτομένη, τὸ δὲ οὐδέτερον ὁμόφωνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχουσι τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, οἷον τὸν τυπτόμενον τὸ τυπτόμενον. Ὁ τυπτόμενος χρόνου μέν ἐστιν ἐνεστῶτος παθητικοῦ καὶ παρατατικοῦ, γίνεται δὲ ἀπὸ τοῦ παθητικοῦ ὁριστικοῦ ἐνεστῶτος τοῦ τύπτομαι, τροπῇ τοῦ μαι εἰς μενος, τὸ θηλυκὸν ἡ τυπτομέν η , ἥτις ἀπὸ τῆς τοῦ ἀρσενικοῦ τοῦ τυπτόμενος γίνεται τροπῇ τοῦ ος εἰς η, τὸ οὐδέτερον τὸ τυπτόμενον καὶ τοῦτο ἀπὸ τῆς ἀρσενικῆς μετοχῆς γίνεται ὁμοφωνοῦν τῇ ἑαυτοῦ αἰτιατικῇ ὥσπερ ἔφημεν· ὥσπερ καὶ ἡ αἰτιατικὴ τοῦ ἀρσενικοῦ τυπτόμενον, οὕτω καὶ ἡ εὐθεῖα τοῦ οὐδετέρου τυπτόμενον· παρακειμένου δὲ καὶ ὑπερσυντελίκου ἡ μετοχή ἐστιν ὁ τετυμμένο ς , γίνεται δὲ ὡς εἴρηται ἀπὸ τοῦ τέτυμμαι ὁριστικοῦ παρακειμένου, τροπῇ τῆς μαι εἰς μενος· ἡ δὲ τεχνολογία τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου προεγράφη εἰς τὸ τυπτόμενος.

181 Ὁ τυφθεὶς χρόνου μέν ἐστιν ἀορίστου α′ παθητικοῦ, γίνεται δὲ ἀπὸ τοῦ ὁριστικοῦ παθητικοῦ ἀορίστου α′, τοῦ ἐτύφθην, ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ ην εἰς εις, ὥσπερ καὶ ὁ τυπεὶς ἀπὸ τοῦ ἐτύπην β′ ἀορίστου, κλίνονται δὲ ἀμφότεροι, ὥσπερ ὁ χαρίεις διὰ τοῦ ντ τυφθείς τυφθέντος, τυπείς τυπέντος· το θηλυκὸν ἡ τυφθεῖσα καὶ ἡ τυπεῖσα · γίνονται δὲ καὶ αὗται ἀπὸ τοῦ ἀρσενικοῦ, τροπῇ τοῦ τος εἰς σα, ἐκβολῇ τε τοῦ ν καὶ προσλήψει τοῦ ι κατὰ τὴν παραλήγουσαν· τὸ οὐδέτερον τὸ τυφθέν καὶ τὸ τυπέν καὶ ταῦτα ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, ἀποβολῇ μόνῃ τοῦ τος. Ὁ τυψάμενος καὶ ὁ τυπόμενος χρόνων μέν εἰσι μέσων ἀορίστων α′ καὶ β′, γίνονται δὲ ἀπὸ τῶν ὁριστικῶν μέσων ἀορίστων, τοῦ ἐτυψάμην καὶ ἐτυπόμην, ἀπὸ μὲν τοῦ ἐτυψάμην ὁ τυψάμενος, ἀπὸ δὲ τοῦ ἐτυπόμην ὁ τυπόμενος, τροπῇ τοῦ μην εἰς μενος, καὶ ὁ τυφθησόμενος καὶ ὁ τυπησόμενος χρόνων μέν εἰσι μελλόντων α′ καὶ β′, γίνονται δὲ ὁμοίως ἀπὸ τῶν ὁριστικῶν μελλόντων τοῦ τυφθήσομαι καὶ τοῦ τυπήσομαι κατὰ τροπὴν τῆς μαι εἰς μενος, ἀπὸ μὲν τοῦ τυφθήσομαι ὁ τυφθησόμενος, ἀπὸ δὲ τοῦ τυπήσομαι ὁ τυπησόμενος. Τὰ θηλυκὰ καὶ τὰ οὐδέτερα δῆλα. Ὁ τυψόμενος καὶ ὁ τυπούμενος χρόνων μέν εἰσι μελλόντων μέσων τοῦ τύψομαι καὶ τοῦ τυποῦμαι, κατὰ τροπὴν τῆς μαι εἰς μενος ἀπὸ μὲν τοῦ τύψομαι ὁ τυψόμενος, ἀπὸ δὲ τοῦ τυποῦμαι ὁ τυπούμενος.

182 Ὁ τετυψόμενος χρόνου μέν ἐστι μετ' ὀλίγον μέλλοντος, γίνεται δὲ ἀπὸ τοῦ ἰδίου ὁριστικοῦ τοῦ τετύψομαι, τροπῇ τῆς μαι εἰς μενος. Ὁρᾷς ὅπως κἀνταῦθα [οἷά ἐστιν] ἡ ὁριστικὴ ἔγκλισις ἀρχὴ καὶ ῥῖζα καὶ αἰτία ἐστὶν οὐ μόνον τῶν ἄλλων ἐγκλίσεων, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν μετοχῶν. Ἔχεις οὖν ἐκ τῶν εἰρημένων τὰς γενικὰς τῶν χρόνων ἁπάντων καὶ πόθεν ἕκαστος γίνεται καὶ τίς ἀπὸ τίνος προσβάλλεται καὶ πῶς κανονίζεται, καὶ οὐκ ἄν σε διαλάθῃ ῥῆμα οὐδέν, οὐδὲ χρόνου κανονισμός, ἐὰν οἷσπερ προεῖπον προσέχῃς. Ὥσπερ γὰρ ἐπὶ τοῦ τύπτω αἱ τῶν χρόνων γενέσεις παρεδόθησαν, οὕτως ἔχουσι καὶ ἐπὶ τῶν ἄλλων ῥημάτων τῶν βαρυτόνων· μάλιστα δὲ ἀπαραλλάκτως ἔχουσιν, ὅσα τῆς αὐτῆς εἰσι συζυγίας, οἷον τύπτω, λείβω, τέρπω, γράφω. Ταῦτα γὰρ πρώτης τυγχάνουσι τῆς συζυγίας. Ἡ πρώτη οὖν συζυγία τῶν βαρυτόνων ὡς εἴρηται ἐκφέρεται διὰ τοῦ Β ἢ Π ἢ Φ ἢ ΠΤ, καὶ διὰ τοῦτο τὰ τοιαῦτα ῥήματα πάντως ἀπαραλλάκτως καὶ ὁμοίως ἔχουσιν· ὥσπερ γὰρ ἐπὶ τοῦ τύπτω ὁ μέλλων ἐστὶ τύψω διὰ τοῦ Ψ, οὕτω καὶ ἐπὶ τοῦ λείβω λείψω καὶ τέρπω τέρψω καὶ γράφω γράψω καὶ κόπτω κόψω διὰ τοῦ Ψ οἱ μέλλοντες γράφονται, καὶ ὥσπερ πάλιν ἐκεῖ ὁ παρακείμενος ἔχει τὸ Φ, οὕτω καὶ ἐπὶ τοῦ λέλειφα, τέτερφα, γέγραφα, καὶ κέκλοφα, καὶ ἁπλῶς εἰπεῖν οὐδεμία ἐστὶ διαφορὰ ἐν τοῖς ὑπὸ μίαν συζυγίαν ἐναγομένοις ῥήμασιν. Τὰ δὲ ὑπὸ ἄλλας συζυγίας ἐναγόμενα ῥήματα ἔχουσι μὲν μικρὰς διαφοράς, ἃς καὶ ἐροῦμεν, πλὴν ταῦτα πάντα ὁμοίως κανονίζονται. Διὰ τοῦτο ἣν παρέλαβες ἐπὶ τοῦ τύπτω μέθοδον τῶν κανονισμάτων, ἐκείνην καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων βαρυτόνων ῥημάτων φύλαττε· ἔμαθες γὰρ ἐκεῖ, ὅτι ἀπὸ τῆς γενικῆς μετοχῆς τοῦ ἐνεστῶτος ὁ παρατατικὸς γίνεται ὁ ὁριστικός, καὶ τοῦτο ἐπὶ τῶν ἄλλων ἴσθι ῥημάτων καὶ ἐπὶ τῶν ἑτέρων γίνωσκε τοῦτο θεμάτων, καὶ ἁπλῶς εἰπεῖν, ὅθεν ἔμαθες ἐν τῷ τύπτω ἕνα ἕκαστον γίνεσθαι χρόνον, ἐκεῖθεν αὐτὸ γίνωσκε γίνεσθαι καὶ ἐν τοῖς ἄλλοις ῥήμασι καὶ θέμασιν· ὅθεν καὶ τὸ ἐρευνᾶν καὶ ἐπὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λείβω τὰς ἐγκλίσεις πόσας καὶ τοὺς χρόνους ἐάσωμεν, ἐκεῖνο μόνον μνησθέντες, ὅτι ὁ μέσος παρακείμενος τοῦ λείβω λέλοιβά ἐστι τὴν οι δίφθογγον ἐν τῇ παραληγούσῃ φέρων· ὅταν γὰρ ὁ μέλλων ὑπάρχει δισύλλαβος δισύλλαβος καὶ ἐν τῇ παραληγούσῃ ἔχει τὸ ε, τρέπει αὐτὸ εἰς ο ὁ μέσος παρακείμενος λείψω λέλοιβα, πείσω πέποιθα, εἴδω εἴσω οἶδα.

183 Ἰστέον δέ σοι καὶ τοῦτο, ὅτι τοῦ λείβω διφθόγγῳ γραφομένου ὁ β′ ἀόριστος ἔλιβον γράφεται διὰ τοῦ ι· ἀεὶ γὰρ οἱ ἀπὸ βαρυτόνων θεμάτων δεύτεροι ἀόριστοι βραχεῖαν θέλουσιν ἔχειν τὴν παραλήγουσαν. διὰ τοῦτο καὶ τὸ ἔλιβον τὴν μὲν ει δίφθογγον ὡς μακρὰν ἀπηρνήσατο, ὡς δὲ βραχὺ τὸ ι γράφει. Ἀλλὰ τοσαῦτα μὲν περὶ τῆς α′ εἴρηται συζυγίας· εἴπωμεν δὲ καὶ περὶ τῆς δευτέρας. Δευτέρα τοίνυν ἐστὶ συζυγία, ἥτις ἐκφέρεται διὰ τοῦ Γ ὡς τὸ ἄγω, φλέγω, τρώγω, ἢ διὰ τοῦ Κ ὡς τὸ πλέκω, ἢ διὰ τοῦ Χ ὡς τὸ ἔχω, τρέχω ἢ διὰ τοῦ ΚΤ ὡς τὸ τίκτω. Ἐκφέρεται δὲ ὁ μέλλων αὐτοῦ ἀεὶ διὰ τοῦ Ξ. Καὶ γὰρ τὸ ἄγω καὶ τὸ φλέγω διὰ τοῦ Ξ ἔχει τὸν μέλλοντα, ἄξω, λέξω, φλέξω, ἕξω, θρέξω. Καὶ μὴν ὁ ἐνεργητικὸς παρακείμενος τῆς τοιαύτης συζυγίας διὰ τοῦ Χ ἀεὶ ἐκφέρεται λέλεχα, πέπλεχα· ἔτι καὶ ὁ παθητικὸς παρακείμενος τῆς τοιαύτης συζυγίας διὰ τοῦ Γ καὶ Μ ἐκφέρεται, λέλεγμαι, πέπλεγμαι· καὶ ἁπλῶς εἰπεῖν· ἐπειδὴ ὁ τῆς β′.

184 συζυγίας ἐνεστὼς διὰ τοῦ Γ ἢ Κ ἢ Χ ἐκφέρεται, διὰ τοῦτο μὲν ἐν τῷ παθητικῷ παρακειμένῳ ἔχει τὸ Γ, οἷον πέπλεγμαι, ἐν δὲ τῷ ἐνεργητικῷ τὸ Χ, οἷον πέπλεχα, ἐν δὲ τῷ μέλλοντι τὸ Ξ, οἷον πλέξω. Τὸ γὰρ Ξ διπλοῦν ὂν ἐκ τοῦ Κ καὶ Σ σύγκειται. Ταῦτα τῆς β′ συζυγίας τὰ ἰδιώματα· αἱ δὲ ἐγκλίσεις αὐτῆς καὶ οἱ χρόνοι οὕτως ἔχουσι καὶ οὕτω παράγονται ὡς ἐπὶ τῆς πρώτης συζυγίας τοῦ τύπτω μεμάθηκας. Ἡ τρίτη συζυγία τῶν βαρυτόνων κανονίζεται καὶ αὐτὴ καθάπερ καὶ αἱ δύο αἱ πρὸ αὐτῆς· ἐκφέρεται δὲ διὰ τοῦ Δ, οἷον ᾄδω ἢ διὰ τοῦ Θ, οἷον πείθω ἢ διὰ τοῦ Τ, οἷον ἀνύτω, ὃ σημαίνει τὸ τελειῶ, διαφέρει δὲ αὕτη τῶν πρὸ αὐτῆς, ὅτι ἐκεῖναι μὲν τὸ Ξ καὶ τὸ Ψ εἶχον ἐν τῷ μέλλοντι, ἡ μὲν πρώτη τὸ Ψ, ἡ δὲ δευτέρα τὸ Ξ, αὕτη δὲ διὰ τοῦ Σ ἐκφέρει τὸν μέλλοντα· ᾄδω γὰρ ᾄσω καὶ ἐλεύθω ἐλεύσω, ἀνύτω ἀνύσω· ἔτι διαφέρει κατὰ τὸν παρακείμενον, τὸν ἐνεργητικὸν καὶ τὸν παθητικόν· ἡ μὲν γὰρ ά συζυγία διὰ τοῦ Φ προάγει τὸν ἐνεργητικὸν παρακείμενον τέτυφα λέλειφα, ἡ δὲ β′ διὰ τοῦ Χ λέλεχα, πέπλεχα, αὕτη δὲ ἡ γ′ διὰ τοῦ Κ πέπεικα καὶ ἤλευκα. Ὁμοίως καὶ ἐπὶ τῶν παθητικῶν παρακειμένων ἡ μὲν α′ διὰ τῶν δύο ΜΜ ἐκφέρεται· τέτυμμαι γάρ· ἡ δὲ β′ διὰ τοῦ Γ καὶ Μ· λέλεγμαι γὰρ καὶ πέπλεγμαι· αὕτη δὲ ἡ τρίτη διὰ τοῦ Σ καὶ Μ· ἤλευσμαι γὰρ καὶ πέπεισμαι· τὰ δ’ ἄλλα πάντα αἵ τε τῶν χρόνων παραγωγαὶ καὶ οἱ κανονισμοὶ ὁμοίως ἔχουσι καὶ ἐπὶ ταύτης τῆς συζυγίας ὡς καὶ ἐπὶ τῶν πρὸ αὐτῆς· ἐλεύθω, ἐλεύσω, ὁ παρακείμενος ἤλευκα· γίνωσκε δέ, ὅτι ἀεὶ ὁ παρακείμενος μὲν κατὰ μίαν αὔξησιν πλεονάζει τοῦ ἐνεστῶτος, ὁ δὲ ὑπερσυντέλικος κατὰ δύο· εἰ μὲν οὖν τὸ θέμα ἀπὸ συμφώνου ἄρχεται συλλαβικῶς γίνεται ἡ αὔξησις τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου καὶ πλεονάζει τοῦ ἐνεστῶτος ὁ μὲν παρακείμενος μίαν συλλαβήν, ὁ δὲ ὑπερσυντέλικος δύο, ὥσπερ ἐπὶ τοῦ τύπτω καὶ τῶν λοιπῶν ῥημάτων τῶν ἀπὸ συμφώνου ἀρχομένων· ἐπεὶ γὰρ τὸ τύπτω ἀπὸ συμφώνου ἄρχεται τοῦ Τ, διὰ τοῦτο, δισυλλάβου ὄντος τοῦ ἐνεστῶτος, τρισύλλαβος μέν ἐστιν ὁ παρακείμενος τέτυφα, τετρασύλλαβος δὲ ὁ ὑπερσυντέλικος ἐτετύφειν· εἰ δὲ τὸ θέμα ἀπὸ φωνήεντος ἄρχεται, τότε ἰσοσύλλαβος μέν εἰσι καὶ ὁ ἐνεστὼς καὶ οἱ παρῳχημένοι, γίνεται δὲ ἡ αὔξησις χρονική· τὸ γὰρ κατ’ ἀρχὰς τοῦ ἐνεστῶτος φωνῆεν ἐάν ἐστι βραχὺ τρέπεται ἐπὶ τοῦ παρακειμένου εἰς μακρόν· καὶ διὰ τοῦτο λέγομεν τὴν αὔξησιν χρονικήν, οἷον ἐπὶ τοῦ ἐλεύθω γέγονεν· ὁ παρακείμενος ἤλευκά ἐστιν, ἰσοσυλλάβως μὲν τῷ ἐνεστῶτι, τρισύλλαβοι δὲ ἀμφότεροι, τὴν δὲ ἄρχουσαν, ἤγουν τὴν πρώτην συλλαβήν, μακροτέραν ἔχει τῆς ἀρχούσης τοῦ ἐνεστῶτος.

185 Διὸ καὶ ἐπὶ τούτων μίαν μόνην αὔξησιν καὶ ὁ ὑπερσυντέλικος ἐπιδέχεται καὶ ὁ παρακείμενος, διότι ὁ μὲν ἐνεστὼς τὴν αὐτοῦ ἄρχουσαν, βραχεῖαν οὖσαν, ἠδυνήθη τρέψαι εἰς μακρὰν καὶ ποιῆσαι τὸν παρακείμενον· ὁ δὲ παρακείμενος οὐ δύναται μακροτέραν ποιῆσαι τὴν ἰδίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄρχουσαν, ἵνα ἐπὶ τοῦ ὑπερσυντελίκου προσθήκη τις γένηται καὶ εὑρεθῇ μεῖζον οὗτος τοῦ παρακειμένου, ἔχων τὰς δύο αὐξήσεις· τὸ γὰρ μακρὸν οὐ δύναται γενέσθαι μακρότερον καὶ διὰ τοῦτο ἠρκέσθη τῇ μιᾷ αὐξήσει καὶ ὁ ὑπερσυντέλικος· τοῦτο δὲ γίνωσκε, ὅτι ὅταν ἄρχεται τὸ θέμα ἀπὸ τοῦ α οἷον ἀκούω ἢ ἀπὸ τοῦ ε οἷον ἐλεύθω, ἢ ἀπὸ τοῦ ο οἷον ὀρύσσω, ὄπτω, τότε μὲν ἐστὶ καὶ ὁ κοινὸς παρακείμενος· ποιοῦσι δὲ καὶ οἱ Ἀττικοὶ ἴδιον παρακείμενον· τοῦτον δὲ ποιοῦσι πῶς; λαμβάνουσιν ἀπὸ τοῦ ἐνεστῶτος δύο γράμματα τὰ καταρχὰς αὐτοῦ κείμενα τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ προστιθέασιν αὐτὰ τῷ κοινῷ παρακειμένῳ· εἶτα τὴν τρίτην συλλαβὴν βραχεῖαν ποιήσαντες, οὕτω λοιπὸν κατασκευάζουσι τὸν ἑαυτῶν παρακείμενον, οἷον ἤδη ἐπὶ τοῦ ἐλεύθω γίνεται· ἐπεὶ γὰρ ἀπὸ τοῦ ε ἄρχεται τὸ θέμα τούτου, γίνεται ὁ παρακείμενος ἤλευκα, ὁ κοινὸς δηλαδή· ἐλθόντες δὲ οἱ Ἀττικοὶ καὶ προστιθέντες τούτῳ τῷ κοινῷ παρακειμένῳ τῷ ἤλευκα δύο γράμματα τὸ πρῶτον καὶ δεύτερον τοῦ ἐνεστῶτος, ἅπέρ ἐστι τὸ ε καὶ τὸ λ ἀντὶ τοῦ ἤλευκα ἐλήλευκα ἤμελλον ποιεῖν· ἀλλ' ἐπεὶ τὴν τρίτην συλλάβην συστέλλει, ὡς εἶπον, ἔστι δὲ ἡ τρίτη συλλαβὴ ἐνταῦθα τὸ λευ διὰ τοῦτο ἐκβαλόντες τὸ ε τὸ υ μόνον εἴασαν, ἵνα ἡ τοιαύτη βραχυνθῇ συλλαβὴ καὶ οὕτως ἐλήλυκα ὁ ἀττικὸς παρακείμενος γέγονεν· ὁμοίως δὲ καὶ ὁ μέσος παρακείμενός ἐστιν ἤλευθα, ὁ δὲ ἀττικὸς ἐλήλυθα, προσλαβὼν μὲν τὸ ε καὶ τὸ λ βραχύνων δὲ τὴν τρίτην συλλαβήν· ὡσαύτως δὲ καὶ οἱ ὑπερσυντέλικοι δύο, ὁ ἐνεργητικὸς καὶ ὁ μέσος, κοινῶς μὲν ἠλεύκειν καὶ ἠλεύθειν εἰσίν, ἀττικῶς δὲ ἐληλύκειν καὶ ἐληλύθειν· ὁμοίως δὲ καὶ ὁ παθητικὸς παρακείμενος καὶ ὁ παθητικὸς ὑπερσυντέλικος κοινῶς μὲν ἤλευσμαι καὶ ἠλεύσμην γράφονται, ἀττικῶς δὲ ἐλήλευσμαι καὶ ἐληλεύσμην· ἕτερος δὲ χρόνος οὐδεὶς ὑπὸ τῶν Ἀττικῶν γίνεται εἰ μὴ μόνοι οἱ παρακείμενοι καὶ ὑπερσυντέλικοι, οἱ ἐνεργητικοὶ δηλονότι καὶ οἱ παθητικοὶ καὶ οἱ μέσοι· τὰ δ' ἄλλα πάντα τῆς τοιαύτης συζυγίας καὶ τοῦ τοιούτου ῥήματος ὁμοίως ἔχουσι ταῖς λοιπαῖς συζυγίαις.

186 Ἡ τετάρτη συζυγία τῶν βαρυτόνων κανονίζεται μὲν καὶ αὕτη ὥσπερ καὶ αἱ ἄλλαι· ἐκφέρεται δὲ διὰ τοῦ Ζ ἢ δύο ΣΣ, οἷον παίζω, πλήσσω· ἔχει δὲ αὐτῆς ὁ μέλλων ποτὲ μὲν Ξ ὡς τὸ παίζω παίξω, ὀρύσσω ὀρύξω, ποτὲ δὲ τὸ Σ ὡς τὸ κτίζω κτίσω, πλάσσω πλάσω. Ὅταν μὲν οὖν ὁ μέλλων ἔχει τὸ Ξ, τότε ὁ παρακείμενος ἔχει τὸ Χ, οἷον παίζω παίξω πέπαιχα, ὀρύσσω ὀρύξω ὤρυχα· ὅταν δὲ ἔχει τὸ Σ ὁ μέλλων, τότε ὁ παρακείμενος ἔχει τὸ Κ, κτίζω κτίσω κέκτικα, πλάσσω πλάσω πέπλακα· τοιαύτη μὲν καὶ ἡ τετάρτη συζυγία, ἐπεὶ καὶ τοῦτο τὸ θέμα, λέγω δὴ τὸ ὀρύσσω, ἀπὸ τοῦ ο ἄρχεται διὰ τοῦτο καὶ ἐνταῦθα ποιοῦσιν οἱ Ἀττικοὶ ἰδίους παρακειμένους· ὁ μὲν γὰρ κοινὸς παρακείμενός ἐστιν ὤρυχα, ὁ δὲ ἀττικὸς ὀρώρυχα, τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος δύο γράμματα προσλαβὼν τὸ ο καὶ ρ, ὁμοίως καὶ ὁ ὑπερσυντέλικος ὁ μὲν κοινὸς ὠρύχειν, ὁ δὲ ἀττικὸς ὠρωρύχειν· προσέλαβε γὰρ καὶ οὗτος ἀπὸ τοῦ ἐνεστῶτος τὰ δύο ἀρκτικὰ γράμματα τὸ ο μικρὸν καὶ τὸ ρ, πλὴν ἐπειδὴ ὁ ὑπερσυντέλικος διπλῆν ἐπιδέχεται αὔξησιν, διὰ τοῦτο ἐμεγέθυνε καὶ τοῦτο τὸ ω μέγα καὶ ἔστιν ὁ μὲν παρακείμενος ἀττικὸς ὀρώρυχα μίαν ἐπιδεξάμενος αὔξησιν τὴν τοῦ ρω, ὁ δὲ ὑπερσυντέλικος ὠρωρύχειν αὐξήσεις ἔχων καὶ τὴν τοῦ ω καὶ τοῦ ρω· πάντες γὰρ ἁπλῶς οἱ ἀττικοὶ ὑπερσυντέλικοι καὶ τὴν α′ συλλαβὴν καὶ τὴν β′ αὐξαίνουσιν, ἄνευ τοῦ ἐληλύκειν καὶ ἐληλύθειν.

187 Μόνοι γὰρ οὗτοι τὴν πρώτην αὐτῶν συλλαβὴν ἀνεπαύξητον ἔχουσι· γέγονε δὲ τοῦτο, οἶμαι, ἵνα μὴ κακόφωνος ἡ λέξις γένηται πᾶσα διὰ τοῦ η ἐκφωνουμένη ἠληλύκειν ἠληλύθειν· ὁ μέσος παρακείμενος καὶ ὁ μέσος ὑπερσυντέλικος κοινῶς μὲν ὤρυγα καὶ ὠρύγειν, ἀττικῶς δὲ ὀρώρυγα καὶ ὠρωρύγειν, ὁ παθητικὸς παρακείμενος καὶ ὁ παθητικὸς ὑπερσυντέλικος κοινῶς μὲν ὤρυγμαι καὶ ὠρύγμην εἰσίν, ἀττικῶς δὲ ὀρώρυγμαι καὶ ὠρωρύγμην. Οἱ δὲ λοιποὶ χρόνοι ὁμοίως ἔχουσι καὶ ἐπὶ ταύτης τῆς ἐγκλίσεως, ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν· καθόλου γὰρ ὡς παρεδόθη σοι καὶ ἐπὶ τοῦ τύπτω ἡ τῶν χρόνων ἁπάντων γένεσις, οὕτως ἔχει καὶ ἐπὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλων συζυγιῶν. Ἡ πέμπτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται μὲν διὰ τῶν τεσσάρων ἀμεταβόλων Λ, Μ, Ν, Ρ, οἷον τίλλω, νέμω, κρίνω, σπείρω.

188 Φυλάττει ἡ συζυγία αὕτη τὸ τοῦ ἐνεστῶτος χαρακτηριστικὸν σύμφωνον καὶ ἐπὶ τοῦ μέλλοντος, ποιεῖ δὲ τὸν μέλλοντα περισπώμενον καὶ βραχεῖαν τὴν παραλήγουσαν ἔχοντα· κρίνω καὶ ὁ μέλλων κρινῶ περισπωμένως, τοῦ Ν ἐπὶ τοῦ ἐνεστῶτος καὶ ἐπὶ τοῦ μέλλοντος φυλαττομένου· σπείρω καὶ ὁ μέλλων σπερῶ, μετὰ τοῦ αὐτοῦ συμφώνου τοῦ ρ καὶ μετὰ βραχείας τῆς παραληγούσης, τοῦ σπε, καὶ μετὰ περισπωμένου τοῦ τόνου· ἔχει δὲ ὁ παρακείμενος τῆς τοιαύτης συζυγίας τὸ κ, τίλλω τιλῶ τέτιλκα, κρίνω κρινῶ κέκρικα· οὕτω καὶ ἔσπαρκα ἢ καὶ νενέμεικα (sic). Ἡ ἕκτη συζυγία τῶν βαρυτόνων διὰ καθαροῦ τοῦ ω ἐκφέρεται· παλαίω, ἀριστεύω, κυλίω· ἕκαστον γὰρ τούτων οὐκ ἔχει ὄπισθεν τοῦ ω σύμφωνον, ἀλλὰ διὰ γυμνοῦ τοῦ ω ἐκφέρεται, οἷόν ἐστι καὶ τὸ ἀκούω. Ἔχει δὲ ἡ τοιαύτη συζυγία ἐπὶ τοῦ μέλλοντος τὸ Σ, οἷον παλαίω παλαίσω, ἀριστεύω ἀριστεύσω, ἀκούω ἀκούσω. Ἐπὶ δὲ τοῦ ἐνεργητικοῦ παρακειμένου τὸ Κ, πεπάλαικα, ἤκουκα, ἐπὶ δὲ τοῦ παθητικοῦ παρακειμένου τὸ Σ μετὰ τοῦ Μ, πεπάλαισμαι, ἤκουσμαι· ἀλλ’ ἐπειδὴ καὶ τὸ ἀκούω ἀπὸ φωνήεντος ἄρχεται ἔχεις καὶ ἐπὶ τοῦ τοιούτου ῥήματος τοὺς ἀττικοὺς παρακειμένους καὶ ὑπερσυντελίκους κατὰ πρόσληψιν τοῦ ἐνεστῶτος τῶν δύο ἀρκτικῶν γραμμάτων, τοῦ α καὶ κ καὶ κατὰ συστολὴν τῆς παραληγούσης γινομένους. Οἱ μέντοι χρόνοι ἅπαντες οὕτω γίνονται καὶ κανονίζονται, ὡς ἐν τῷ τύπτω μεμάθηκας· ἀλλὰ τοιαῦται μὲν αἱ βαρύτονοι συζυγίαι καὶ τοσαῦται, ὡς εἴρηται. Αἱ δὲ περισπώμεναι, λέγω δὴ περισπωμένας συζυγίας τὰς ἐπὶ τέλους τὴν περισπωμένην ἐχούσας, τρεῖς μέν εἰσι τῷ ἀριθμῷ, πρώτη, δευτέρα καὶ τρίτη, παράγονται δὲ πᾶσαι κοινῶς ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων, πῶς δ’ ἂν ἔχεις ἐπιγινώσκειν τὴν πρώτην, καὶ πῶς τὴν δευτέραν, καὶ πῶς τὴν τρίτην, ἐγώ σοι ἐρῶ.

189 Ἐπεὶ γὰρ ὡς εἶπον αἱ περισπώμεναι συζυγίαι ἅπασαι ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γίνονται, ἥτις διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, ἐρεύνα μοι ταύτην τὴν ἕκτην· εἰ μὲν οὖν ἔχει ἐν τῇ αὐτῇ παραληγούσῃ τὸ ε ψιλόν, ἐκείνη τὴν συναιρουμένην τὴν πρώτην συζυγίαν τῶν περισπωμένων ποιεῖ, οἷον τὸ τελέω καὶ τὸ ποιέω, ἐπειδὴ ἕκτης οὔσης τῶν βαρυτόνων ἔχουσιν ἐν τῇ παραληγούσῃ τὸ ε, διὰ τοῦτο συναιρεθέντα τὴν πρώτην τῶν περισπωμένων ἐποίησαν συζυγίαν· ἀντλέω ἀντλῶ, ποιέω ποιῶ, πονέω πονῶ· ἔχει δὲ ἡ τοιαύτη συζυγία ἐπὶ τοῦ δευτέρου καὶ τρίτου προσώπου αὐτῆς τὴν ει δίφθογγον, ἀντλέεις ἀντλεῖς, ποιέεις ποιεῖς, ἀντλέει ἀντλεῖ, ποιέει ποιεῖ· εἰ δὲ ἡ ἕκτη συζυγία τῶν βαρυτόνων οὐκ ἔχει μὲν ἐν τῇ παραληγούσῃ τὸ ε, ἔχει δὲ τὸ α, οἷον βοάω, ναρκάω, διψάω, ἡ τοιαύτη συναιρουμένη τὴν δευτέραν τῶν περισπωμένων ποιεῖ· βοῶ, ναρκῶ, διψῶ, καὶ ἔχει ἡ τοιαύτη ἡ συζυγία ἐπὶ τοῦ δευτέρου καὶ τρίτου προσώπου αὐτῆς τὴν αι δίφθογγον βοᾷς βοᾷ, ναρκᾷς ναρκᾷ, διψᾷς διψᾷ· εἰ δὲ οὐκ ἐκφωνεῖται τὸ ι, οὐδὲ γὰρ λέγομεν βοαῖς καὶ ναρκαῖς καὶ διψαῖς, καὶ διὰ τοῦτο οὐκ ἔδει τὴν τελευταίαν ταύτην συλλαβὴν εἰπεῖν δίφθογγον· ἀλλ’ οὖν ἐπειδὴ ὑποκάτω τοῦ ᾳ προσγράφεται τὸ ι καὶ οὕτω δίφθογγον αὐτὴν λέγομεν. Ἐὰν δὲ ἡ ἕκτη συζυγία τῶν βαρυτόνων οὐκ ἔχει ἐπὶ τῆς παραληγούσης οὔτε τὸ ε, οὔτε τὸ α, ἀλλὰ τὸ ο μικρόν, οἷον χρυσόω, γυψόω, στεφανόω, φανερόω, ἡ τοιαύτη συναιρουμένη τὴν τρίτην συζυγίαν τῶν περισπωμένων ποιεῖ, οἷον χρυσῶ, στεφανῶ, φανερῶ, γυψῶ, καὶ ἔχει ἡ τοιαύτη συζυγία ἐπὶ τοῦ δευτέρου καὶ τρίτου προσώπου αὐτῆς τὴν οι δίφθογγον, οἷον χρυσοῖς χρυσοῖ, στεφανοῖς στεφανοῖ, γυψοῖς γυψοῖ, φανεροῖς φανεροῖ.

190 Διατί δὲ ἡ μὲν α′ τῶν περισπωμένων ἔχει τὴν ει δίφθογγον, ἡ δὲ δευτέρα τὴν αι, ἡ δὲ τρίτη τὸ οι; διότι ἡ μὲν α′ ἀπὸ τῶν διὰ τοῦ εω ῥημάτων γίνεται, οἷον πονέω, νοέω, λαλέω, καὶ ἐκεῖθεν ἔχει τὴν ει δίφθογγον, ἀπὸ τοῦ ε καὶ ι συναπαρτιζομένη, ἡ δὲ δευτέρα ἀπὸ τῶν διὰ τοῦ αω ῥημάτων γίνεται, βοάω, ναρκάω, διψάω, καὶ διὰ τοῦτο τὴν αι δίφθογγον ἔχει τὴν ἀπὸ τοῦ α καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι συγκειμένην, ἡ δὲ τρίτη ἀπὸ τῶν διὰ τοῦ οω ῥημάτων γίνεται, οἷον χρυσόω, φανερόω, καὶ διὰ τοῦτο τὴν ἀπὸ τοῦ ο καὶ ι συγκειμένην δίφθογγον ἔχει, ὡς ἂν φυλαχθῇ ἑκάστη ἐν τῇ ληγούσῃ καὶ τελευταίᾳ συλλαβῇ τὸ φωνῆεν τῆς παραληγούσης τὸ ἐντελές, τῇ μὲν πρώτῃ τὸ ε, τῇ δευτέρᾳ τὸ α, τῇ δὲ τρίτῃ τὸ ο. Ἀλλ' οὕτω μὲν καὶ αἱ περισπώμεναι συζυγίαι γίνονται ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, κανονίζονται δὲ καὶ αὗται κατὰ τοὺς βαρυτόνως καὶ τὴν παραδοθεῖσάν σοι ἐν τῷ τύπτω μέθοδον τοῦ κανονισμοῦ καὶ ἐνταῦθα φυλάττειν ὀφείλεις. Ποιοῦσι δὲ ἡ α′ καὶ ἡ β′ συζυγίαι, τῶν περισπωμένων τοὺς ἑαυτῶν μέλλοντας παραληγουμένους τῷ η ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἔχοντας ἐν τῇ ληγούσῃ τὸ ς, οἷον ἀντλήσω, διψήσω· ἐνίοτε δὲ ἡ μὲν πρώτη συζυγία τὸ ε ἔχει ἐν τῇ παραληγούσῃ κατὰ τὸν μέλλοντα, ὡς τὸ τελῶ τελέσω, καλῶ καλέσω, φορῶ φορέσω, καὶ ἡ δευτέρα τὸ α ὡς τὸ ἀκροῶ ἀκροάσω, γελῶ γελάσω· τέως δὲ ὡς ἐπὶ τὸ πλεῖστον τῷ η παραλήγονται οἱ τῆς πρώτης καὶ δευτέρας συζυγίας μέλλοντες· ἔχουσι δὲ καὶ τὸ ς ἐν τῇ ληγούσῃ καθάπερ εἴρηται. Ἡ δὲ τρίτη ἔχει μὲν καὶ αὐτὴ τὸ ς ἐν τῇ ληγούσῃ τοῦ μέλλοντος, οὐ μέντοι γε καὶ ἐν τῇ παραληγούσῃ τὸ η, ἀλλὰ μᾶλλον τὸ ω μέγα· οὐ γάρ ἐστιν ὥσπερ τὸ ποιέω ποιήσω, καὶ νοῶ νοήσω, οὕτω καὶ χρυσῶ χρυσήσω, ἀλλὰ χρυσώσω καὶ φανερώσω· παραλήγεται τοίνυν ἡ τρίτη συζυγία τῶν περισπωμένων τῷ ω μεγάλῳ κατὰ τὸν μέλλοντα, πλὴν τοῦ ἀρῶ ἀρόσω, τὸ ἀροτριῶ, ὀμῶ ὀμόσω, τὸ ὀμνύω, ὀνῶ ὀνόσω τὸ μέμφομαι, καὶ βῷ βόσω τὸ τρέφω· οἱ δὲ ἄλλοι χρόνοι, λέγω δὴ παρακείμενος καὶ ἀόριστος καὶ οἱ λοιποί, διὰ τῶν αὐτῶν συμφώνων καὶ ἐν ταῖς τρισὶ ταύταις περισπωμέναις συζυγίαις ἐκφέρονται· οἵ τε γὰρ ἐνεργητικοὶ αὐτῶν παρακείμενοι διὰ τοῦ η προάγονται, πεποίηκα, νενόηκα, κεχρύσωκα, οἵ τε παθητικοὶ διὰ τοῦ μ μόνου πεποίημαι, νενόημαι, κεχρύσωμαι· καὶ οἱ ἀόριστοι πάλιν διὰ τοῦ ς ἐποίησα ἐνόησα, ἐχρύσωσα.

191 Ἰστέον δέ σοι, ὅτι ὁ μέσος παρακείμενος καὶ ὁ β′ ἀόριστος καὶ ὁ β′ μέλλων ἐν ταῖς πεπισπωμέναις συζυγίαις οὐχ εὕρηνταί ποτε. Καὶ περὶ μὲν τῶν περισπωμένων συζυγιῶν ἀρκεῖ τοσαῦτα, περὶ δὲ τῶν εἰς μι ἤδη λέξωμεν συζυγιῶν. Αἱ εἰς μι συζυγίαι τέσσαρές εἰσι τὸν ἀριθμόν, πρώτη, δευτέρα, τρίτη, τετάρτη, παράγονται δὲ ἡ μὲν πρώτη ἀπὸ τῆς α′ τῶν περισπωμένων· ἀπὸ γὰρ τοῦ τιθέω τιθῶ, ἥτις ἐστὶ πρώτη τῶν περισπωμένων, γέγονε τίθημι, ἥτις καὶ πρώτη ἐστὶ τῶν εἰς μι· ἀπὸ δὲ τοῦ ἱστάω ἱστῶ, ἥτίς ἐστι δευτέρα τῶν περισπωμένων, γέγονεν ἵστημι, ἥτις καὶ δευτέρα ἐστὶ τῶν εἰς μι, ἀπὸ δὲ τοῦ διδόω διδῶ, ἥτίς ἐστι τρίτη τῶν περισπωμένων, γέγονε δίδωμι ἡ τρίτη τῶν εἰς μι· ἡ δὲ τετάρτη τῶν εἰς μι τὸ ζεύγνυμι, εἰ μὲν εἴχομεν καὶ τετάρτην τῶν περισπωμένων πάντως ἂν ἐξ ἐκείνης ἐγένετο· ἐπειδὴ δὲ οὐκ ἔχομεν, τρεῖς γὰρ μόναι εἰσὶ περισπώμεναι συζυγίαι, διὰ τοῦτο ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων παράγεται· αἱ μὲν γὰρ βαρύτονοι συζυγίαι πρωτότυποι μέν εἰσιν, αἱ δὲ περισπώμεναι καὶ παράγονται καὶ παράγουσι· παράγονται γὰρ ἀπὸ τῶν βαρυτόνων παράγουσι δὲ τὰ εἰς μι· αἱ δὲ εἰς μι παράγονται μόνον, οὐ παράγουσι δέ· διὰ τοῦτο καὶ τελευταίας ταύτας ὁ τεχνικὸς ἔθετο.

192 Τίθημι πρώτης τῶν εἰς μι συζυγίας, χρόνον δὲ δηλοῖ ἐνεστῶτα, καὶ παράγεται ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων· ἔστι γὰρ τὸ ῥῆμα τὸ περισπώμενον θῶ· εἶτα κατὰ ἀναδιπλασιασμὸν τιθῶ καὶ ἐξ αὐτοῦ τίθημι, παραλήγεται δὲ τῷ η, διότι ἡ πρώτη συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος τῷ η παραλήγεται· θήσω γάρ ἐστι καὶ ποιήσω· ἔστι δὲ τὸ δεύτερον πρόσωπον τοῦ τίθημι τίθης · τὰ γὰρ εἰς μι τροπῇ τῆς μι εἰς ς ποιεῖ τὸ δεύτερον, καὶ τὸ τρίτον αὐτοῦ ἐστι τίθησι · πᾶν γὰρ δεύτερον πρόσωπον τῶν εἰς μι προσλαβὸν τὸ ι τὸ τρίτον ποιεῖ τίθης τίθησι, ἵστης ἵστησι, δίδως δίδωσι, ζεύγνυς ζεύγνυσι· ἡ δὲ λοιπὴ κλίσις ἥ τε τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὁμοία τῷ τύπτω· ὁ δὲ παρατατικός ἐστι μὲν ἐτίθη ν , γίνεται δὲ ἀπὸ τοῦ ἐνεστῶτος τοῦ τίθημι τροπῇ τοῦ μι εἰς ν καὶ καταρχὰς προσόδῳ τοῦ ε. Τέθεικα παρακείμενος ἀπὸ τοῦ θήσω μέλλοντος γίνεται τροπῇ τοῦ σω εἰς κα καὶ προσόδῳ τοῦ τε καὶ ὤφειλε τὸ τέθεικα διὰ τοῦ η γράφεσθαι, ἀλλ' οἱ Βοιωτοὶ φιλοδίφθογγοι ὄντες αὐτὸ

ἐδιφθόγγισαν, ἀκολουθοῦντες δὲ αὐτοῖς καὶ ἡμεῖς τοὺς παρακειμένους τοῦ τίθημι καὶ τοὺς ὑπερσυντελίκους ἀεὶ διφθογγίζομεν· ἐκεῖνο δὲ ἀπορητέον, ὅτι ἐμάθομεν, ὡς ὅταν τὸ θέμα ἄρχεται ἀπὸ συμφώνου, πλεονάζει μίαν συλλαβὴν τοῦ ἐνεστῶτος ὁ παρακείμενος· τὸ μὲν τίθημι ὁ ἐνεστὼς τρισύλλαβον, τὸ δὲ θήσω ὁ μέλλων δισύλλαβον· ὅσον οὖν πρὸς τὸν μέλλοντα ηὔξησεν ὁ παρακείμενος· τοῦ γὰρ θήσω, ὅπέρ ἐστι δισυλλάβου μέλλοντος τρισύλλαβός ἐστιν ὁ τέθεικα παρακείμενος.

193 Ὁ πρῶτος ἀόριστος τοῦ τίθημι ἔθηκά ἐστι κατὰ πάντα τοῖς ἄλλοις ἀορίστοις παρόμοιος· αὔξησίν τε γὰρ ἐπιδέχεται καὶ εἰς α λήγει· τοῦτο δὲ μόνον ἔχει καινότερον, ὅτι διὰ τοῦ Κ ἐκφέρεται, καίτοι τῶν ἄλλων πρώτων ἀορίστων τὸ σύμφωνον ἐχόντων τοῦ μέλλοντος, πλέξω ἔπλεξα, τύψω ἔτυψα, ἐλεύσω ἤλευσα· ἔδει οὖν καὶ τὸν ἀόριστον τὸν ἀπὸ τοῦ θήσω μέλλοντος παρηγμένον ἔθησα εἶναι· ἀλλὰ σεσημείωται, φασί, τὸ ἔθηκα διὰ τοῦ Κ ἐκφερόμενον καὶ οὐ διὰ τοῦ Σ. Τοῦ τίθημι ὁ μέλλων θήσ ω , γίνεται δὲ ἀπὸ τοῦ ἐνεστῶτος ἐκβολῇ τοῦ τι καὶ τροπῇ τοῦ μι εἰς σω· σημείωσαί σοι περὶ τῶν μελλόντων καί τι θαυμάσιον· οὗτοι γὰρ ἐπὶ μὲν τῶν βαρυτόνων συζυγιῶν ἰσοσυλλαβοῦσι τοῖς ἰδίοις ἐνεστῶσι, λείβω λείψω, γράφω γράψω, ἀκούω ἀκούσω· ἐπὶ δὲ τῶν περισπωμένων περιττοσυλλαβοῦσι μίαν συλλαβὴν παρὰ τοὺς ἐνεστῶτας οἱ μέλλοντες, ποιῶ ποιήσω, βοῶ βοήσω, χρυσῶ χρυσώσω· ἰδοὺ γάρ, δισύλλαβοι μὲν οἱ ἐνεστῶτες, τρισύλλαβοι δὲ οἱ μέλλοντες· ἐπὶ δὲ τῶν εἰς μι τὸ ἀνάπαλιν γίνεται, περισσεύουσι γὰρ οἱ ἐνεστῶτες μίαν συλλαβὴν παρὰ τοὺς μέλλοντας, τίθημι θήσω, ἵστημι στήσω, δίδωμι δώσω· ἰδοὺ γάρ· τρισύλλαβοι μὲν οἱ ἐνεστῶτες, δισύλλαβοι δὲ οἱ μέλλοντες· δι’ ἣν δὲ αἰτίαν ἔχουσιν οὕτως ἐγώ σοι ἐρῶ· ἐπὶ μὲν γὰρ τῶν βαρυτόνων, διότι οὐδὲ συναίρεσίς ἐστιν ἐν αὐτοῖς οὐδὲ διπλασιασμὸς ἐν τοῖς ἐνεστῶσι, ἀλλ’ εἰσὶν ἁπλοῖ καὶ ἀσύνθετοι, διὰ τοῦτο εὐθὺς μόνον τὸ σύμφωνον ὑπαλλάξαντες οἱ ἐνεστῶτες μέλλοντες γίνονται· τὸ γὰρ λείβω τὸ β μόνον τρέψαν εἰς ψ λείψω γέγονεν, καὶ τὸ τέρπω ὁμοίως τέρψω καὶ διὰ τοῦτο ἰσοσυλλαβοῦσιν ἐν τοῖς τοιούτοις ῥήμασιν οἱ ἐνεστῶτες καὶ οἱ μέλλοντες· ἐπὶ δὲ τῶν περισπωμένων συζυγιῶν, ἐπειδὴ ἀπὸ συναιρέσεως γίνονται, ἡ δὲ συναίρεσις πάντως ἀπὸ τοῦ ἐντελοῦς γίνεται, ἀπὸ μὲν τοῦ ποιέω τοῦ ἐντελοῦς γίνεται τὸ συνῃρημένον τὸ ποιῶ καὶ ἀπὸ τοῦ τελέω τελῶ· διὰ τοῦτο ὅταν μὲν πρὸς τὸν συνῃρημένον ἐνεστῶτα παραβάλλει τὸν μέλλοντα, τότε ὁ μέλλων πλείονας ἔχειν φαίνεται συλλαβάς· ὅτε δὲ πρὸς τὸν ἐντελῆ, οὐκ ἔτι· τοῦ γὰρ τελέω ἐντελοῦς ἐνεστῶτος οὐκ ἔστιν ὁ τελέσω μέλλων περιττοσύλλαβος· ὥσπερ οὐδὲ τοῦ ποιέω ὁ ποιήσω, ἀλλὰ τρισύλλαβοι μὲν ἀμφότεροι· ἐπὶ δὲ τῶν εἰς μι, ἤγουν τοῦ τίθημι καὶ τοῦ δίδωμι καὶ τῶν λοιπῶν δοκεῖ ὁ ἐνεστὼς πλείονας ἔχειν τοῦ μέλλοντος συλλαβάς, οὐκ ἔχει δὲ ὅμως.

194 Ἡ γὰρ πρώτη συλλαβὴ αὐτοῦ κατὰ ἀναδιπλασιασμὸν γίνεται· τοῦ γὰρ τίθημι τὸ τι καὶ τοῦ δίδωμι τὸ δι κατὰ ἀναδιπλασιασμὸν προεληλύθασιν· ἐὰν δὲ τὸν ἀναδιπλασιασμὸν ὑπεξέλῃς ὑπελείφθη ὁ μέλλων ἰσοσύλλαβος τῷ ἐνεστῶτι· ἐὰν γὰρ ἀπὸ τοῦ τίθημι ἐκβάλῃς τὸ τι ἀπέμεινε θῆμι ἰσοσύλλαβος τῷ θήσω μέλλοντι· καὶ τοῦ δῆλον ἀπὸ τοῦ φημί ῥήματος, τοῦ μὴ ἔχοντος ἀναδιπλασιασμόν· ἐπεὶ τούτῳ γὰρ ἰσοσυλλαβεῖ ὅ τε ἐνεστὼς καὶ μέλλων· φημὶ γὰρ καὶ φήσω ἀμφότερα δισύλλαβα. Ὁρᾷς πῶς ἐδιδάξαμεν, ὡς πάντες οἱ μέλλοντες ἰσοσυλλαβοῦσι τοῖς ἐνεστῶσιν· ἐπὶ μὲν γὰρ τῶν βαρυτόνων φανερόν ἐστι τοῦτο· τὸ γὰρ τύπτω ἰσοσύλλαβόν ἐστι τοῦ τύψω, ἐπὶ δὲ τῶν περισπωμένων κἂν τοῖς συνῃρημένοις ἐνεστῶσιν οὐκ ἰσοσυλλαβοῦσιν οἱ μέλλοντες, ἀλλὰ τοῖς ἐντελέσιν ἐξανάγκης ἰσοσυλλαβοῦσι· τὸ γὰρ ποιέω καὶ τὸ ποιήσω ἀμφότεροι ἰσοσύλλαβοι· ἐπὶ δὲ τῶν εἰς μι ἐὰν ἐκβάλλῃς ἀπὸ τῶν ἐνεστώτων τοὺς ἀναδιπλασιασμούς, ἰσοσύλλαβοι καὶ οὗτοι οἱ ἐνεστῶτες καὶ οἱ μέλλοντες.

195 Τοῦ τίθημι τὸ παθητικὸν τίθεμαι · τὰ γὰρ εἰς μι ἅπαντα τροπῇ τῆς μι εἰς μαι καὶ συστολῇ τῆς παραληγούσης τὸ παθητικὸν ποιοῦσι· διατί δὲ τὸ τίθεμαι ἐπὶ τῆς παραληγούσης ἔχει τὸ ε, μάνθανε· διότι τὸ τίθημι πρώτης συζυγίας ἐστὶ τῶν εἰς μι ἀπὸ τῆς πρώτης τῶν περισπωμένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γινομένη· τὸ γὰρ τίθημι ἀπὸ τοῦ τιθῶ γέγονεν, τὸ δὲ τιθῶ ἀπὸ τοῦ τιθέω· τὸ δὲ τιθέω ἔχει τὸ ε, διὰ τοῦ γοῦν ἔχει τὸ τίθεμαι ἐν πάσαις ταῖς ἐγκλίσεσι τὸ ε πανταχοῦ, τίθεμαι ἐν τῇ ὁριστικῇ, τιθέναι ἐν τῇ ἀπαρεμφάτῳ, τίθετι ἐν τῇ προστακτικῇ, καὶ θές καὶ τίθεσ ο , τιθείην καὶ τεθείην ἐν τῇ εὐκτικῇ, τιθείς καὶ τεθείς ἐν τῇ μετοχῇ καὶ ἁπλῶς ἐν ὅλῳ τῷ θέματι τὸ ε ψιλὸν ἀναφαίνεται· οἱ δὲ χρόνοι πάντες καὶ αἱ ἐγκλίσεις ἅπασαι οὕτω καὶ ἐπὶ τῶν εἰς μι κανονίζονται, ὡς ἐπὶ τοῦ τύπτω μεμάθηκας· μέλλων δὲ δεύτερος καὶ μέσος παρακείμενος ἐν τοῖς εἰς μι οὐχ εὑρίσκεται· ἀλλ' οὕτω μὲν ἡ συζυγία πρώτη τῶν εἰς μι ἀπὸ τῆς πρώτης τῶν περισπωμένων εὑρίσκεται. Ἡ δὲ δευτέρα τὸ ἵστημι κανονίζεται μὲν ὁμοίως τῇ πρώτῃ, γεννᾶται δὲ ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων, ἀπὸ τοῦ ἱστάω ἱστῶ γέγονεν ἵστημι· διὰ τοῦτο καὶ ἐν ὅλῳ τῷ τοῦ ἵστημι θέματι εὑρήσεις τὸ α, διότι παρήχθη ἀπὸ τοῦ ἱστάω τοῦ ἔχοντος τὸ α ἐν τῇ παραληγούσῃ· καὶ ὅρα μοι κἀνταῦθα πανταχοῦ· τὸ α, ὥσπερ ἐν τῇ πρώτῃ τὸ ε, ἵσταμα ι , τὸ ὁριστικόν, τὸ προστακτικὸν ἵστασο, τὸ ἀπαρέμφατον ἱστάναι καὶ ἑστάνα ι , τὸ εὐκτικὸν σταίη ν , ἡ μετοχὴ ὁ στά ς . Ἰδοὺ ταῦτα πάντα διὰ τοῦ α. Ἡ δὲ τρίτη τῶν εἰς μι παράγεται ἀπὸ τῆς τρίτης τῶν περισπωμένων· διὰ τοῦτο καὶ ἐν ὅλῳ τῷ δίδωμι εὑρήσεις τὸ ο μικρόν, διότι παρήχθη ἀπὸ τοῦ διδόω διδῶ, ἔχοντος ἐν τῇ παραληγούσῃ τὸ ο· καὶ σκόπησον τὸ ο μικρὸν πανταχοῦ· τὸ ὁριστικὸν δίδομα ι , τὸ ἀπαρέμφατον διδόναι καὶ δίδοσθα ι , τὸ προστακτικὸν δίδο υ , τὸ εὐκτικὸν διδοίην καὶ διδοίμη ν , ἡ μετοχὴ ὁ διδούς · σημείωσαι δέ μοι, ὅτι ἡ μὲν α' καὶ β' συζυγία τῶν εἰς μι τὸ η ἔχει ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστῶτος ὁμοῦ καὶ τοῦ μέλλοντος, τίθημι θήσω, ἵστημι στήσω, διότι καὶ τῶν περισπωμένων ἡ α' καὶ β' τῷ η παραλήγεται κατὰ τὸν μέλλοντα ποιήσω, βοήσω· ἡ δὲ τρίτη τῶν εἰς μι τὸ ω μέγα φέρει ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ τοῦ ἐνεστῶτος δίδωμι δώσω, διότι καὶ τῶν περισπωμένων ἡ τρίτη διὰ τοῦ ω μεγάλου προάγει τὸν μέλλοντα, χρυσώσω, στεφανώσω· ἁπλῶς δὲ πᾶσαι αἱ τῶν εἰς μι συζυγίαι τὸ ς ἔχουσιν ἐν τῷ μέλλοντι, θήσω, στήσω, δώσω, καὶ ἐν τῷ παρακειμένῳ τὸ κ, τέθεικα, ἔστακα (sic), δέδωκα καὶ μ μόνον ἐν τῷ παθητικῷ παρακειμένῳ· τέθειμαι, ἵσταμαι (sic), δίδωμαι (sic)· τὰ δὲ λοιπὰ πάντα οἵ τε κανονισμοὶ καὶ ἐγκλίσεις καὶ γενέσεις τῶν χρόνων οὕτως ἔχει καὶ ἐν τούτοις ὥσπερ καὶ ἐν τοῖς προλεχθεῖσιν.

196 Ἡ τετάρτη συζυγία τῶν εἰς μι ἔστι τὸ ζεύγνυμι ἀπὸ τοῦ ζευγνύω ἥτις ἐστὶν, ἕκτη τῶν βαρυτόνων, καὶ κεράννυμι ἀπὸ τοῦ κεραννύω· τῆς δὲ τοιαύτης συζυγίας ὀλίγοι χρόνοι ἐν χρήσει εὑρίσκονται· σχεδὸν γὰρ μόνος ὁ ἐνεστὼς καὶ ὁ παρατατικός, τὸ ζεύγνυμι καὶ τὸ ἐζεύγνυν εὑρίσκονται· οὐ μόνον δὲ ἐπὶ τῶν ὁριστικῶν καὶ ἐνεργητικῶν οἱ τοιοῦτοι χρόνοι εὑρίσκονται ἐν χρήσει, ἀλλὰ καὶ ἐπὶ τῶν παθητικῶν· ζεύγνυμαι ἐζευγνύμην · καὶ ἐπὶ τῶν πέντε ἁπλῶς ἐγκλίσεων οὐδεὶς ἄλλος χρόνος εὑρίσκεται, εἰ μὴ ὁ ἐνεστὼς καὶ ὁ παρατατικός· τὸ ἀπαρέμφατον ζευγνύναι ἐνεργητικὸν καὶ ζεύγνυσθαι παθητικόν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

197 Ἰστέον δέ, ὅτι οὐχ ἁπλῶς ἀπὸ πάντων τῶν ῥημάτων τῶν ὄντων τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων σχηματίζεται ἡ τετάρτη τῶν εἰς μι, ἀλλ' ἐξ ἐκείνων μόνων, τῶν ἐχόντων τὸ υ ἐπὶ τῆς παραληγούσης μόνον, οἷον ζευγνύω ζεύγνυμι, πηγνύω πήγνυμι καὶ τὰ ὅμοια· εἴπομεν δὲ τῶν ἐχόντων τὸ υ ἐπὶ τῆς παραληγούσης μόνον διὰ τὸ ἀκούω καὶ τὰ ὅμοια τούτων, ἅτινα τὸ υ ἔχουσι μὲν ἐπὶ τῆς παραληγούσης, ἀλλ' οὐ μόνον· ἔστι γὰρ μετὰ τοῦ ο. Οὕτω καὶ τὸ πιστεύω· ἔχει μὲν τὸ υ, ἀλλ' οὐ μόνον· ἔστι γὰρ μετὰ τοῦ ε. Ἐκ τῶν τοιούτων τοίνυν οὐ παράγεται ἕτερον ῥῆμα συζυγίας τετάρτης τῶν εἰς μι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org